# EMMANVELIS RAVL EPISTVLAE XII

Edidit Raymundus J. Loenertz O.P.

## *Μανουηλ του Ραουλ Επιστολαι*

### 1

*Τῶι κραταιῶι καὶ ἁγίωι ἡμῶν αὐθέντηι καὶ βασιλεῖ κυρῶι Ἰωάσαφ τῶι Καντακουζηνῶι*

IOASAPH MONACHO EX IMPERATORE IOANNE CANTACUZENO, CONSTANTINOPOLIM

*Thessalonicae, 1355 - 1360*

Ioannem Cantacuzenum Augustum convenit Emmanuel Raul in ea urbe ubi haec verba litteris mandat, Thessalonicae scilicet, quam ille semel invisit, anno p.Ch. n. 1349 in 1350 declinante. Saepius exinde scribere cupivit optimo et sapientissimo principi, nec ausus est. Sed ecce Cantacuzenus, postquam dimissa purpura monachum induit (1354.XII.10), eum scriptione praevenit, utque rescriberet rogavit. Tanta dignatione ultra quam dici potest commotus Emmanuel, primam hanc scribit epistulam, laudibus Augusti monachi redundantem. Ubi se tanto operi prorsus imparem fatetur, cum, in Peloponneso natus, brevi Laconum eloquentiae sit obnoxius. Nonnulla de laude regiae Urbis obiter ingerit et tandem Cantacuzeno gratulatur, quod eo imperitante Deus Ecclesiam suam in orthodoxa fide servaverit, damnatis, puta, anno 1341, Barlaam Calabro et Gregorio Acindyno.

*Ἐμοὶ μέν, ὦ σοφίας πέλαγος, κράτιστε βασιλεῦ, πολλάκις προθυμηθέντι πρὸς τὸ τῆς σῆς βασιλείας ὕψος τολμῆσαι διὰ γραμμάτων ἀναδραμεῖν, ῥᾴδιον οὐδαμῶς οὐδεπώποτε δυνηθῆναι φθάσαι οὔτ' ἔδοξεν οὔτ' ἐφάνη. ἀλλ' οὐδ' ἐκρίθη δέον, οὐδὲ γοῦν πρὸς αὐτήν γε μόνην εἰπεῖν ἐγχείρησιν,* (f. 314)

---

Codices : Scorialen. Ψ IV 1, f. 293 - 337 (S); Monacen. 145, f. 137 - 154 (M); Monacen. 199, f. 296 - 314 (M[1]), omnes s. XVI. S praebet epistulas hoc ordine: 4 6 2 1 10 12 8 9 7 5 3 11; M[1] habet eundem ordinem. M habet ordinem 2 1 9 7 5 3 10 - 12 4 6 8. Codice M[1] non usus sum nisi in edendis epistulis 2 et 8 et prima parte ep. 1.

*1.* S 4, f. 314 - 325v. M 2, f. 138 - 144. M[1], f. 300v, contuli usque ad lin. *18 ἡγεμόνας*

*2 τὸ* om. M

---

*1. 1 - 2 προθυμηθέντι κ.τ.λ.* : primam hanc misisse Cantacuzeno fatetur epistulam !

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/06/2024 07:08:23 EEST - 3.12.155.211

ὡς οὐδ᾿ εἰς μεγάλα μοι πελάγη δυνατὸν εἶναι διέγνωσταί ποτε παραδύεσθαι. οὐχ ὅπως γὰρ εἰς τοιοῦτόν τε καὶ τοσοῦτον, οἷον καὶ ὅσον δὴ τὸ τῆς σῆς ἐστι σοφίας ἄπειρον, ἐθάρρησά ποτε | πέλαγος τὸν ἱστὸν ἀνορθῶσαι f. 314v τοῦ λόγου καὶ τὸ λαῖφος ἀναπετάσαι, ἀλλ᾿ οὐδ᾿ ἃ τοῖς ὀφθαλμοῖς εἴκει, ὡς εἶναι διαβαίνειν καὶ τὸν τῆς τοιαύτης θαλάττης καθάπαξ ἀπείρατον, οὔκουν ἐς δεῦρο, ῥᾴδιον ὂν ἀποφυγεῖν, οὐδὲ τούτων αὐτῶν κατετόλμησα. οὕτω τὴν εἰς τὸ τῆς σῆς ὕψος σοφίας φέρουσαν καὶ ἄποθεν ὁδὸν ἑώρων ἀποσκοπῶν, καὶ κατενόουν ἀνάντη πάντῃ καὶ μάλα τραχεῖαν ἐμοὶ καὶ δύσβατον.

**2.** Ὅθεν οὐδ᾿ ἅψασθαι ταύτης ὅλως οὐδ᾿ ὁποσονοῦν οὐδεπώποτ᾿ ἐπικεχείρηκα, ἐμαυτὸν εἰδὼς ὅτι τέ εἰμι Λάκων ἄνωθεν, οἷς τὸ βραχυλογεῖν φυῇ πρόσεστι, καὶ τὴν σὴν φύσιν ἐκ παίδων ἐξεπιστάμενος ὑπερβᾶσαν πολλοῖς τοῖς πλεονεκτήμασιν, ὡς πρίν γ᾿ ἤκουόν τε κἀξ ἐκείνου μετέπειτα καὶ ἐς δεῦρο πείρᾳ σαφῶς μεμάθηκα, οὐ τοὺς ἐφ᾿ ἡμῶν ἢ καὶ ⟨οὐ⟩ πολλῷ πρὸ ἡμῶν ὑπάρξαντας ἀρίστους βασιλεῖς τε καὶ ἡγεμόνας, ἀλλ᾿ ἤδη καὶ πολλοὺς | τῶν πάλαι ὑμνουμένων ἐπ᾿ ἀρεταῖς καὶ σοφίᾳ καὶ κατορθώμασιν. ἣ f. 315 δὴ καὶ πολλῶν καὶ μεγάλων τῶν ἐγκωμίων καὶ ἐπαίνων ἐστὶν ἀξία, καὶ δεῖ καὶ τοῖς αὐτὴν βουλομένοις ἐγκωμιάζειν ἐπιχειρεῖν οὐκ ἐκ Δωριέων, ὡς αὐτός εἰμι, Λάκωνας βραχυλόγους εἶναι, ἀλλ᾿ ἐκ τ᾿ Ἀθηνῶν, εἰ οἷόν τε, τῶν τότε καὶ τῆς Ἀττικῆς αὐτῆς, εὐδοκιμοῦντας πλάτει λόγου πολλῷ, καὶ κάλλει πλεῖστον ὅτι τὸ κομψὸν ἔχοντι λογογράφους ἀρίστους εἶναι, οἷον δὴ τὸν Ἀριστείδην ὁρῶμεν ἐκ τῆς τῶν λόγων περιουσίας ὥς φησι τὸν εἴτε Εὐδαίμονος εἴτε εὐδαίμονα, ὃν οἱ Ἁδριανοὶ ἤνεγκαν, οὐκ Ἀθῆναι, ἀλλ᾿ οὐδ᾿ Ἀττική, καὶ μάλιστα — δεῖ γάρ με τἀληθῆ λέγειν — ἐκ ταυτησὶ τῆς μεγίστης, ἣν ἅπαντες ἴσασι τῶν ἁπανταχοῦ γῆς ἁπασῶν ἐν ἅπασι βασιλεύουσαν πόλεων λόγῳ τε καὶ σοφίᾳ σὺν ἐπιστήμῃ πάσῃ καὶ τοῖς λοιποῖς, ἵνα δὴ τἄλλα πάντα παρῶ, κατορθώμασιν.

**3.** Οὐδὲ γὰρ εἴ τις εἰπεῖν ἐθέλοι περὶ αὐτῆς ἀξίως δύναιτ᾿ ἂν | ποτε f. 315v φθέγξασθαι, μή τί γε καὶ γραφῇ δοῦναι τῶν ἐν αὐτῇ θεαμάτων, οὐ μικρὸν οὐ μέγα, ἥ ἅπερ, εὐτυχοῦντος τοῦ χώρου φύσει τε καὶ θέσει, καὶ τῇ τῶν τεττάρων ἄριστα στοιχείων κράσει χρωμένη, διά τε γῆς καὶ θαλάττης διὰ πάντων ὡραίων καλῶν τε καὶ ἀγαθῶν καὶ τερπνῶν καὶ ἡδέων εὐθηνουμένη φαίνεται. τίς γὰρ ἂν καὶ δύναιτό ποτε ἐξισχῦσαι λόγῳ παραδοῦναι τοιού-

---

*7 τὸν ἱστὸν* : *τὸν ἱστίον* SM¹ *τὸ ἱστίον* M *9 τῆς* om. SM¹ *10 ὂν* : *ὃν* codd. *14 οἷς* : *εἰς* S *15 πρόσεστον* M *σὴν* om. M¹ *17 ἐς* : *εἰς* M¹ *28 ἁπασῶν* : *ἀπασῶν* S *ἀποσῶν* M *29 πάσῃ* : *πᾶσι* codd. *33 τοῦ* om. M *36 ἐξισχύσαι τῷ* M

---

*14 Λάκων* : cf. epp. *5,52-53* et *6,11*.

*21 τοῖς... βουλομένοις* : leg. *τοὺς... βουλομένους?*

*25-26* Proleg. in Aristid. Panath. (Dindorf), t. III, 737, 14. Philostr., Vit. Soph., II 9.

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/06/2024 07:08:23 EEST - 3.12.155.211

*των τε καὶ τοσούτων καὶ τηλικούτων ναῶν μεγέθη τῶν ἐν αὐτῇ παντοίοις καὶ παντοδαποῖς καὶ ποικίλοις εἴδεσι σχημάτων κατεσκευασμένων καὶ εἰς ὅτι κάλλιστον ᾠκοδομημένων; ἢ τίς τὴν ἔνδον τερπνότητα τῶν τε γραφῶν καὶ ψηφίδων καὶ κιόνων τῶν ὑπερειδόντων καὶ τοῦ λοιποῦ κάλλους ἐκφράσαι λόγος; ὧν καὶ τὸ κατὰ μέρος ἑκάστου νοῦς οὐ σθένει περιλαβεῖν ἀνθρώπινος, μή τί γε καὶ γραφῇ παρασχεῖν εἰς ἔκφρασιν. τὸν γὰρ τῆς τοῦ Θεοῦ ἔγωγε Σοφίας καὶ πρό γε πάντων καὶ μετὰ πάντας ἐξαίρω λόγον. | f. 316 οἶμαι δὲ καὶ πᾶς, εἴ τις νοῦν ἔχων ἐστί, λόγου ζητουμένου περὶ αὐτοῦ σιωπὴν τιμῶν φαίνοιτο. οὐδὲ γὰρ οἶμαι περὶ αὐτοῦ, εἰ μή πού τις τουτὶ μόνον εἰπεῖν ἐθέλοι, ὡς ὁ τὰ πάντα σοφίᾳ συστησάμενος ἀρρήτῳ καὶ αὐτὸν ἀρρήτῳ λόγῳ τοιοῦτον ἔδειξεν, εὐλόγως ἂν φθέγγοιτο, καὶ παρ' αὐτοῦ τοῦ παντὸς ἐν μέσῳ στερεώματος ὡσεί τινος ἱεροῦ ἀξιόχρεων θυσιαστήριον ἀνεγηγέρθαι καὶ ἐμπεπῆχθαι.*

**4.** *Ἡ τῶν ἐξ οὗπερ ἡ μεγίστη πόλις αὕτη συνέστη καὶ μέχρι τοῦδε βασιλείων οἰκοδομημάτων τὴν ποικιλίαν τά τε σχήματα τά τε μεγέθη καὶ τὴν ἔνδον τερπνότητα καὶ φιλοτιμίαν, τῶν μεταγενεστέρων οὐχ ἧττον ἢ τῶν προγεγενημένων, ὧν ἁπάντων ὡς λέγεται τῶν ὑπογείων τὰ ἀφανῆ μείζω τῶν ὁρωμένων εἰσὶ καὶ πολυτελέστερα, ὧν καὶ τὸ δοκοῦν εὐτελέστατον μεῖζόν ἐστιν ἢ περιφανοῦς τινος ἑτέρας καὶ μεγαλωνύμου πόλεως πρόσχημα; ἀλλ' ὢ πῶς ἢ τίσι καὶ ἄκων συνελαθεὶς βυθοῖς θαλάττης ἐνέπεσον, | f. 316v ἀπειροθάλαττος ὢν παντάπασιν; πῶς τοσοῦτον ἐκτραπεὶς τῆς εὐθείας ἐπανήκω, μὴ προμεμαθηκὼς νήχεσθαι, ἀλλεπαλλήλων με κυμάτων βίᾳ περιδονούντων καὶ μὴ ἐώντων ἰδεῖν ὅθεν ἐξένευσα, ἀλλὰ τὴν ὄψιν ἐφελκομένων πρὸς παραδείσους ἀνεικάστους καὶ δυσκαταλήπτους τῶν ἐν αὐτῇ ⟨κήπων⟩, οὓς αἱ κατ' οἶκον ἐπαύλεις ἅπασαι περὶ αὐτὰς πλουτεῖν φαίνονται; τίς μοι χεῖρα χειραγωγὸς κυβερνήτης δοὺς παρέλκοντι τρόπῳ χρώμενος ὅθεν ἐξετράπην ἐπαναγάγῃ καὶ τοῦ βυθοῦ καὶ τῶν κυμάτων καὶ τῆς θαλάσσης αὐτῆς ἐξαιρήσεται;*

**5.** *Τοιούτοις κινδύνοις ἑκὼν ἐμαυτὸν ἐνέβαλον, ἐκ πολλοῦ μὲν ἀνενεγκεῖν ἱμειρόμενος τῷ σῷ κράτει, σωφρόνως δ' ἀποδειλιῶν καὶ μηδαμῶς προθυμούμενος, εὖ ποιῶν, τῷ δὲ σῷ προστάγματι νῦν θαρσήσας καὶ πειθαρχήσας. τοσοῦτόν ἐστιν εἰς εὐφημίας λόγον ἐμοὶ μέγιστον καὶ δυσεπιχείρητον τὸ τῆς σῆς ὕψος σοφίας καὶ μεγαλοπρεπείας, ὡς καὶ οὐρανῶν αὐτῶν ἐπέκεινα, | f. 317 μή τί γε μέχρις αὐτῶν διήκειν λογίζεσθαι. ταῦτ' ἄρα σοι καὶ ἀνενεγκεῖν οὐδαμῶς οὐδεπώποτε προθυμηθῆναι τετόλμηκα. πλὴν ἀλλ' ἐπειδήπερ ἡ κραταιὰ καὶ ἁγία βασιλεία σου ᾧ φυῇ πρόσεστιν αὐτῇ, οὐχ ἁπλῶς*

---

*47 τοιοῦτον* : *τοσοῦτον* M *51 οἰκοδομημάτων* : *οἰκοδ* ex *οἴκων* corr. S *οἴκων οἰκοδομημάτων* M *57 παντάπασι* M *60 δυσκατήπτους* S *69 σοφίας ὕψος* M *70 διήκην* M ex *δίκην* (!)

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/06/2024 07:08:23 EEST - 3.12.155.211

*ἐκ παίδων οὐδ' ἀσκήσει προσειληφυίᾳ ἀλλ' ἅμα γενομένῃ, φιλανθρώπῳ μετ' εὐμενείας χρωμένῃ, καθάπερ εἴωθε πρὸς ἅπαντας χρῆσθαι τρόπῳ θείῳ, τούτῳ καὶ πρὸς ἐμέ, καὶ προσκυνητῷ προστάγματι τὸν πάντων ἐλάχιστον καὶ θαρρεῖν ηὐδόκησε καὶ προσέταξε τοιούτου τε καὶ τοσούτου κατατολμᾶν μεγίστου καὶ ὑπὲρ τὴν ἡμετέραν δύναμιν ἐπιχειρεῖν πράγματος, πρῶτον μὲν ἣν οἶδα τῷ ἐκ μὴ ὄντος εἰς τὸ εἶναί με παραγαγόντι Θεῷ ὑπὲρ ὧν ἑκάστοτε φαίνομαι πλουσίων ἀπολαύων παρ' αὐτοῦ δωρεῶν ⟨χάριν⟩, ταύτην αὐτὴν ἀποτίννυμι καὶ τῇ κραταιᾷ καὶ ἁγίᾳ βασιλείᾳ σου ταύτης εἵνεκα τῆς εὐεργεσίας. ἔπειτα δὲ τῷ θάρρει τούτῳ κινούμενος πειράσομαι καὶ χεῖρα καθόσον οἷός τέ εἰμι κατατολμῆσαι κινῆσαι, λίαν ἀνενεγκεῖν αὐτῇ καὶ ἐκ πολλοῦ προθυμούμενος. |*

**6.** *Ἀλλὰ γὰρ πρίν γε διανοίᾳ τοῦτο λαβεῖν, πρὶν ἐν νῷ περιλαβεῖν,* f. 317v *πρὶν ἐνστήσασθαι, πρὶν πρὸς τὸ γράφειν ἐπᾶραι χεῖρα, πρὶν ἄρξασθαι, δεῖν αἰτῆσαι συγγνώμην ἔγνων ⟨εἰ⟩, ὧν ἀδυνάτως ἔχω, καὶ τοῖς ὅτι μάλιστα περὶ λόγους ἐσπουδακόσιν ἀνέφικτα ταυτὶ κρίνων εἶναι, τούτων αὐτῶν αὐτὸς ἐπιχειρεῖν κατατολμῶν φαίνομαι. καὶ ὅτι ταύτης τυχεῖν περὶ πλείστου πεποίημαι τῆς συγγνώμης καὶ τὸ πρᾶγμα παντὸς μᾶλλον ἥγημαι προτιμότερον, παντί που δῆλόν ἐστιν. αὐτὴν ταύτην τοίνυν αἰτῶ, καὶ ἱκέτης γίνομαι, τὴν συγγνώμην, ἀπειροθάλαττος ὢν παντάπασιν, εἶτα θαλαττεύειν κατατολμῶν. καίτοι πρὸς τὰ βασιλικὰ σὰ τῶν ἀνεικάστων ἄπειρα χαρίτων πελάγη, καὶ πρός γε ταύτῃ τῆς σῆς χρηστότητος δέομαι καὶ καθικετεύω, εἴ που σκόλοψί τισι προσεγγίσω θαλαττεύων ὑφάλοις ἐν τούτοις τοῖς ἀπείροις πελάγεσι, μή με παριδεῖν ὥστε ναυαγίῳ περιπεσεῖν ἢ καὶ κινδυνεύοντα καταδῦναι, ἀλλ' ὀρέξαι χεῖρα καί τισι τῆς αὐτῆς εὐμενείας παρασχεῖν αὔραις χρήσασθαι σὺν οὐρίῳ χρηστότητος πνεύματι, ὥς τέ τινι | τῶν αὐτῆς ἐγκα-* f. 318 *θορμίσαι σωτηρίων λιμένι. ἐγὼ γὰρ διανοούμενος γράφειν ἰλιγγιῶ. οὐδὲ γάρ ἐστί μοι νοῦς ἐφικνούμενος χωρῆσαι πρὸς ἐγκωμίων τοσούτων πληθύν, ἀλλ' οὐδ' ἔννοια φθάνουσα, οὐ μέθοδος ἱκανή, οὐ λέξις ἐξαρκοῦσα τῇ φράσει τὴν συνθήκην καὶ ἀνάπαυλαν τοῦ λόγου σεμνύνουσα, οἷς ὁ τοῦ λόγου ῥυθμὸς στερρῶς καὶ κοσμίως ἵδρυται.*

**7.** *Χωρὶς γὰρ τῶν ἄλλων ἁπάντων, ἵν' ἐντεῦθεν ἄρξωμαι, τί μόνον εἴπω πρῶτον, τί δ' ὕστατον, ὅτι τοσαύτης ἠξίωμαι τῆς τοῦ σοῦ κράτους φιλανθρωπίας ἐγώ, ὡς οὐ μνήμης μόνον ἁπλῶς ἀλλ' ἤδη καὶ γραμμάτων ἀπολυθέντων μοι διὰ θείου καὶ προσκυνητοῦ προστάγματος; τίνα χάριν ὁμολογήσω, τί φθέγξωμαι; τί τις ἂν εἰπὼν ἀξίως ἐφίκοιτο τοῦ προσήκοντος; ἄκρως κατ' ἄκρας ὄντως συνεσχέθην τῇ ἀφωνίᾳ, καὶ οὐδὲν ἄλλ' ἢ τουτὶ*

---

*75 τούτῳ* S (?) : *ταύτης* M *82 κινῆσαι : νικῆσαι* M *88 περὶ τοῦ* M *89 τὸ* om. M *94 προσεγγίζω* M *95 κινδυνεύοντι* codd. *99 μοι* om. M *ἀφικνούμενος* codd.

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/06/2024 07:08:23 EEST - 3.12.155.211

*μόνον Λακωνικῶς ὕπεστί μοι λέγειν βραχυλογοῦντι, ὡς καὶ σιωπῶντος ἤκουε Μωσέως Θεός, καὶ ἡ κραταιὰ καὶ ἁγία βασιλεία σου | κἀμοῦ ὀξέως* f. 318v *καὶ μὴ φθεγγομένου συνίησιν. οὐ γὰρ εἰς ταὐτὸ πασῶν ἀρετῶν ἑσμὸς συγκεκρότηται καὶ συνεληλυθὼς φαίνεται σὺν λόγῳ καὶ σοφίᾳ τῶν ἄκρων ἐξηρτημένῳ ἐφικνεῖσθαι πᾶσαν ἀτονοῦσαν ἀπελέγχει λόγου δεινότητα. τίσιν οὖν ῥήμασιν ἐξυμνήσω, ποίοις ὀνόμασι μελῳδήσω, τίνι συναιρομένῳ μοι Πινδάρῳ χρήσωμαι τοῦ τολμήματος, ἄκρως εἰδότι θαρρούντως, οὐχ ὅπως τοὺς ἀρίστους ἐν τοῖς ἀγῶσι τῶν ἀνδρῶν ἐξυμνεῖν καὶ στεφανοῦν ἐν τοῖς ἄθλοις, ἀλλ' ἤδη καὶ τοὺς ἥρως αὐτοὺς ᾄδοντι καταστέφειν καὶ κατακοσμεῖν τοῖς ἐπαίνοις; τίσιν εἴδεσι χρωμάτων καταποικίλω ὃν ἐκ παντοίων σοι καὶ παντοδαπῶν ἀνθέων, τῶν σῶν ἀρετῶν δηλονότι, τῷ κρατίστῳ καὶ θειοτάτῳ βασιλεῖ τολμηρῶς ἐκ λόγων ἐπικεχείρηκα πλέκειν στέφανον;*

8. *Ἀμηχανῶ μεγίστῃ θαλάττῃ τῶν σῶν ἀρετῶν ἑκὼν ἐμαυτὸν παρασχὼν καὶ τὸ κέρας ἐπὶ πλεῖστον ὑπεράρας τοῦ λόγου | καὶ τὸ λαῖφος ὑπερ-* f. 319 *εκτείνας. ἀλλά γε δὴ συνάρσει τῇ τοῦ Θεοῦ τὸν σὸν λόγον ἐπαληθευούσας τὰς πράξεις ἰδόντες ἀεὶ διὰ τῶν πραγμάτων, τουτὶ μόνον εἰπόντες ἀρκοῦν ἡγησόμεθα ὅτι ἀσκαρδαμυκτί σοι συνεφύη ἅμα γεννωμένῳ ἐνατενίζοντι τὸ πρὸ παντὸς προσέχειν τῷ τοῦ Κυρίου νόμῳ καὶ τοῖς προστάγμασιν, ὧν ἀλήθεια καὶ δικαιοσύνη αἱ προηγούμεναι καί σοι παιδόθεν οὐ μόνον ἁπλῶς εἰπεῖν, ἀλλ' εἴ τις καὶ ἀπὸ γάλακτος φαίη ταύτας συντρόφους εἶναι συνδιαιτωμένας παρ' ὅλον ἀεὶ τὸν βίον, συναγρυπνούσας τε καὶ συγκαθευδούσας ἀχωρίστως καὶ συνιούσας, οὐκ ἂν ἁμάρτοι. εἰ οὖν ἐντολὴ Κυρίου τὸ τὴν βασιλείαν ἀεὶ τοῦ Θεοῦ ζητεῖν καὶ τὴν δικαιοσύνην, ὃ σοι συμφυὲν ἐξ ἀρχῆς ἦν ἀεὶ σύντροφον συμπαρομαρτοῦν διὰ βίου παντός, ἐπαγγελία δ' αὐτοῦ τὸ τἆλλα πάντα προστεθήσεσθαι τοῖς αἰτοῦσιν, εὔδηλον ὡς ὁ ταύτας συμφυεῖς ἔχων ἀεὶ καὶ προπορευομένας ἔχει, μᾶλλον δὲ | καὶ συνιούσας,* f. 319v *μηδαμῶς ἀφισταμένας αὐτοῦ. καὶ οὗτός ἐστιν ἀτεχνῶς ὁ υἱὸς ὑψίστου κληθεὶς παρ' αὐτοῦ καὶ θεός, σὺ δηλαδή, πάντων αὐτοκρατόρων βασιλεύτατε καὶ θειότατε.*

9. *Οὕτως ἔχω περὶ τούτων ἐγὼ καὶ τοιαῦτα περὶ τοῦ σοῦ κράτους λογίζομαι, καὶ ὡς ἐμαυτὸν πείθω λίαν ὀρθῶς. οἶμαι δὲ μηδ' ἂν ἕνα τῶν ἁπάντων μηδὲν ἐθελῆσαι φθέγξασθαι, τῶν μὴ φιλονείκως ἀλλὰ λογικῶς ἐθε-*

---

*110* *ἤκουσε* M *σου* om. M *113* *ἐπελέγχει* M *118* *καταποικίλλω* codd. *121* *μεγίστη θάλαττα* codd. *122* *ὑπεράρας* : *ἐπαράρας* M *123* *τῶν σῶν λόγων* codd. *125* *ἡγησώμεθα* codd. *126* *προστάγμασιν* : *πράγμασιν* M *140* *μηδὲν ἐθελῆσαι* : *μηδένα θελῆσαι* codd.

---

*126 - 127* Psalm. 110,7.
*130 - 133* Mt. VI 33.
*135* Lc. VI 35 ; Psalm. 81,6.

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/06/2024 07:08:23 EEST - 3.12.155.211

*λόντων λέγειν, ὡς οὐκ εὐστόχως, ἀλλὰ κατὰ σκοπὸν βάλλων φαίνομαι. καὶ γὰρ ἐντεῦθεν συνῆν σοι καὶ τοὐνθ' ὥς ἔοικε, τὸ εὐεργετεῖν ἐκ παίδων καὶ παρ' ὅλον ἀεὶ τὸν βίον ὡς εἴ τινα κλῆρον ἄριστον ἑλομένῳ πάντων ὧν ἅπαντες ἄνθρωποι τετιμήκασι, καὶ ἡ συνήθειά σοι πάντων ἥδιστον ἔθετο, ποὺ μὲν ὡς οἶμαι τοῦτ' ἀκούοντι τὸ « κατ' εἰκόνα Θεοῦ καὶ ὁμοίωσιν » εἶναι τὴν ἐφικτὴν ἀνθρώπῳ μηδὲν ἄλλο ἢ τὸ εὐεργετεῖν καθάπερ δὴ καὶ τὸ ἀληθεύειν, ποὺ δὲ τὸ « οὐδενί γέ τῳ τῶν πάντων ὡς | ἐλέῳ Θεὸς θερα-* f. 320 *πεύεται » τῆς εὐποιίας τὸ χρῆμα πρὸ παντὸς ἡγησαμένῳ καὶ σκήψει τοῦ εὐεργετεῖν τοῦ εὖ ποιεῖν οὐδεπώποτ' οὐδαμῶς ἀφισταμένῳ καὶ διὰ τοῦτο ταὐνθ' ἅπανθ' ὡς συμφυᾶ κεκτημένῳ καὶ τἄλλα πάντα προστεθέντα σοι φαίνεται. τεκμήριον δέ, εἴ γε καὶ τῆς κοσμικῆς δόξης ὁ κολοφὼν τὸ μέχρι βασιλείας εὐτυχῆσαι ἀφῖχθαι καὶ τελειότης τουτί, σοὶ καὶ τοῦτο παρακαταθήκη τις ὥσπερ ἅμα γεννωμένῳ δέδοται κατὰ ταυτηνὶ τοῦ Θεοῦ τὴν ἐπαγγελίαν καὶ τηρούμενον ἦν ἐν σοὶ παρ' αὐτοῦ, ἐν τῷ προσήκοντί σοι χρησομένῳ καιρῷ.*

**10.** *Καὶ γέγονεν. ἐνεχειρίσθη γάρ σοι τὰ σκῆπτρα τῆς βασιλείας καὶ διίθυνας ἕως γοῦν ἐκεκρίκεις. ἔπειτα δὲ τῷ νόμῳ καὶ τοῖς προστάγμασι προσσχὼν ἀκριβέστατα, τό τε παρακατατεθειμένον τηρήσας ἀμείωτον τόν τε δρόμον τετελεκὼς τήν τε πίστιν τετηρηκώς, δεῖν ἔγνως καθ' Ὅμηρον καὶ χρύσεα χαλκέων ἀλλάξασθαι, ὡς ἂν κἀντεῦθεν καὶ σοφώτατος ἐμπόρων ἀναφανῇς, βασιλείας | τῆς ἐπικήρου τὴν ἀΐδιον ἀλλαξάμενος, ὅπως σοι καὶ τὸν* f. 320v *ἐντεῦθεν τῆς δικαιοσύνης ἀποκείμενον ὁ δίκαιος ἀποδῷ κριτὴς στέφανον. καὶ τῷ πιστευθέντι σοι χρόνοις πρότερον παρὰ τοῦ λαμπροτάτου καὶ πανθαυμάστου βασιλέως ἐκείνου μετὰ λογισμοῦ μεμεριμνημένου — ὅς σε καὶ αὐτάδελφον ἴσα στέργων καὶ τῶν ἔγγιστα προσηκόντων αὐτῷ τοῦ γένους πάντων ἡγεῖτο ἐρασμιώτατον — παραχωρήσας τῶν σκήπτρων, προδιιθύνας αὐτὸν καὶ τὴν ἀρχὴν αὐτῷ καλῶς διεξαγαγὼν καὶ φυλάξας ἕως ἥβης αὐτῷ πρεπούσης καὶ ἀξιόχρεω, ταύτην αὐτῷ παρέδωκας αὐτοκράτορι λογισμῷ τῇ*

---

*145* ἀκούοντα codd. *146 - 147* καὶ τὸ : τὸ om. M *149 - 150* καὶ... κεκτημένῳ om. S *153* καταυτηνί codd. *154* χρησαμένου codd. *157* διίθενας M γοῦν : νῦν codd. *160* κἀντεῦθεν : ἐντεῦθεν M *167* αὐτῷ ἀρχὴν M

---

*145* Gen. I 26 ; Mt. VI 48. Eph. IV 32 - V 1.
*147 - 148* Mt. IX 13 ; XII 7.
*158 - 159* 2 Tim. IV 7.
*160* Z 237 ; cf. Plat., Conv. 219a.
*161* ἀλλαξάμενος : Νέος Ἑλληνομνήμων, 14 (1917) 403 ; Cant. IV 42 : III 306,12 - 307,13 ; Greg. XXIX 30 : III 243,18 - 244,3 (Bonn).
*163* πιστευθέντι : Ioannes V Palaeologus.
*164* βασιλέως : Andronicus III Palaeologus.

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/06/2024 07:08:23 EEST - 3.12.155.211

τοῦ Θεοῦ ἀληθείᾳ καὶ δικαιοσύνῃ χρησάμενος καὶ πρὸ ταύτης αὐτὸν κηδεστὴν τῆς ἥβης ἑλόμενος ἐπὶ τῇ τῶν θυγατέρων ἀρίστῃ καὶ ἀγαγόμενος.

**11.** Τίς ὁρῶν ἢ ἀκούων οὐ μὴ θαυμάσῃ τὴν ὑπερβολὴν τοῦ τοιούτου μεγίστου πράγματος καὶ σὲ δοξάσῃ τοῦ μεγέθους τῆς ἀρετῆς καὶ νομίσῃ τοῦ κόσμου παντὸς ἀνώτερον; | [f. 321] μᾶλλον δὲ τίς τῶν καὶ Στηλῶν Ἡρακλέους ἐπέκεινα ὃς τοῦ τοιούτου ἀνήκοος ἔμεινεν ἀκούσματός τε καὶ θαύματος; ἀλλ' ὁ θειότατος ἐκεῖνος καὶ πάντ' ἄριστος καὶ φιλανθρωπότατος πρύτανις ὁ πανθαύμαστος βασιλεύς, ὑπὸ χειρὸς Κυρίου τὴν ἰδίαν ἔχων καρδίαν κατεχομένην διορατικῷ τινι τρόπῳ τῇ ἀγχινοίᾳ προεγνωκὼς ἐκ πολλοῦ καὶ πολλῶν σε τῶν τρόπων, σοὶ τὸν ἐρασμιώτατον ἐνεπίστευσε καὶ φροντίδα τὴν αὐτοῦ πατρικὴν ἐπέθηκε, λογισμῷ βεβαίῳ πειθαρχήσας καὶ ἀδιστάκτῳ· καὶ τῆς ἐλπίδος οὐχ ἥμαρτεν, ἀλλά σε μεγαλύνει θαυμάζων καὶ δοξάζει τῆς πίστεως βασιλεύων ὁ σὸς υἱὸς καὶ τὸ ὑπήκοον ἅπαν σὺν πᾶσι τοῖς ἔθνεσιν. εἰ δέ πού μοι καὶ μὴ συνῳδά τις ἐθέλοι λέγειν, ἀλλὰ σιωπᾶν βούλοιτο, διαπρύσιον αὐτὰ καὶ διαρρήδην βοᾷ τὰ πράγματα. σὺ δ' ἣν ἁπάντων ἐπικήρων προείλου καὶ βασιλείας αὐτῆς χαίρων ἐπείγῃ μεθ' ἡδονῆς εἰς οὐρανοὺς ἄγουσαν, ὡς καὶ τῆς ἐκεῖ βασιλείας κληρονομήσων. | [f. 321v] ὑποβλήδην ὥς φησι τρόπον δή τινα καὶ παροδικῶς οὐχ ἧττον ἐπιμελούμενος καὶ τῆς τοῦ Θεοῦ ἐκκλησίας, τοῖς θαυμαστοῖς σου συγγράμμασι καὶ ταύτην ἐπιστηρίζων, ὡς ἄριστος καὶ σοφὸς κυβερνήτης καὶ θαυμαστὸς οἰακοστρόφος «οἴακα νωμῶν, βλέφαρα μὴ κοιμῶν ὕπνῳ». οὕτως ἡ ἄνωθεν ἐνοικοῦσά σοι τοῦ Θεοῦ σοφία τὴν ἑνοῦσάν σοι σύνεσιν τό τε στερρὸν τῆς ἀνδρείας σύνεδρον ἀχωρίστως ἔχουσαν καὶ ⟨τὸ⟩ γενναῖον τῆς σωφροσύνης ἔδειξεν εὖ τε καὶ ὡς ἐχρῆν διανείμασαν ἕκαστα, ὡς ἂν μηδὲν τῶν ὧν ἔδει τῆς σῆς ἐπισκοπῆς ἄμοιρον περιλειφθῇ καὶ κηδεμονίας.

**12.** Ταῦτά σοι παρ' ἡμῶν, ὦ κράτιστε καὶ θειότατε βασιλεῦ, τῶν εὐτελῶν εὐτελέστατα, τοῦ μὲν πρὸς σὲ διαπύρου πόθου καὶ προθυμίας καὶ θερμῆς εἰλικρινοῦς ἡμῶν πίστεως μηδαμῇ μηδαμῶς λειπόμενα, τὸ δ' ὀφειλόμενον παρ' ἡμῶν τῷ σῷ κράτει δουλικὸν χρέος ἀφοσιούμενα. εἰ δὲ τῇ τοῦ λόγου δυνάμει καὶ δοκεῖ καὶ ἔστι | [f. 322] καὶ φαίνεται τοῦ κατ' ἀξίαν παρὰ πολὺ λειπόμενα, σύγγνωθι, μηδ' ἑτέρου του τῶν ἐπιχειρεῖν ἐθελόντων ἐγκωμιάζειν τὰ σὰ τῶν καὶ τὰ μέγιστα περὶ λόγους εὐδοκιμούντων δυνησομένου ποτὲ κατ' ἀξίαν οὐδ' ἔνια τῶν σῶν ὑμνῆσαι λόγῳ καλῶν τε καὶ ἀγαθῶν, ἢ

---

*179* αὐτοῦ : αὐτῷ SM (?) *186* τρόπῳ διὰ M *194* καὶ om. M *197* σῷ om. M *199* του om. M *201* λόγων codd.

---

*170* θυγατέρων : Helena Cantacuzena.
*188-189* Aeschyl., Sept. 3.
*192* διανείμασαν : malim διανείμασα, ut de σοφία dicatur.

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/06/2024 07:08:23 EEST - 3.12.155.211

γραφῇ παρασχεῖν ἱκανῶς εἰς ἔκφρασιν, ἀλλ' ἁπαξαπλῶς ἁπάντων φανησομένων ἴσον ἀπολειπομένων καθάπερ οὐρανοῦ καὶ ἡλιακῶν, ὅ φησιν, ἀκτίνων ὅσοι πρὸς αὐτὰ βλέπωσι. κἀγὼ γὰρ ἦν ὑπερεφιέμενος ἐκ πολλοῦ καὶ τὸ τῆς ψυχῆς ἀεὶ πρόθυμον παρακαλοῦν εἶχον εἰς τὸ διὰ γραμμάτων ἐμαυτόν σοι ἀφοσιοῦσθαι. ἀλλά με κατεῖχε δέος ἐπαινετὸν καὶ δειλία παντὸς ἀνωτέρα ψόγου καὶ μέμψεως, ὡς κἀν ἀρχῇ τοῦ λόγου διείληπται· καὶ νῦν εἰς τὸ πρόσω βία με καθέλκει χωρεῖν καὶ πολλὰ τῶν σῶν καλῶν τε καὶ ἀγαθῶν τοιούτοις εὐτελέσι καὶ ταπεινοῖς ἄγαν λόγοις ὡς ἔμοιγε δυνατὸν ἀνυμνεῖν, κἀκ τῶν σῶν σε καταστέφειν ἐπαίνοις. ἀλλ' ἔγωγε δέδοικα μὴ καὶ τῶν εἰρημένων ἔγκλημα φύγω, καὶ τῆς τοσαύτης | λόγου ὑφέξω τόλμης, ὑπὲρ f. 322v τὸ δέον παρασυρείσης καὶ ἀντὶ τοῦ τινα τῶν σῶν μεγαλύνειν δοκεῖν, τοὐναντίον φανῆναι σμικρύνειν ἀπελεγχθείσης, ὃ πᾶσα παθεῖν οὐκ ἔμοιγε μόνον ἀνάγκη, ἀλλὰ καὶ τοῖς ὅτι μάλιστα μέγιστον ἐσχηκόσι κλέος περὶ τοὺς λόγους, εἴ τις ἐπιχειροίη ἐγκωμιάζειν τὰ σά.

**13.** Πέποιθα δ' ὅμως τῇ σῇ φιλανθρωπίᾳ, τοῦτ' ἀναλογιζόμενος, ὡς ὁ τὴν βασιλείαν σοι παρασχὼν ὡς αὐτοῦ μιμητήν σε, κατά γε δὴ τὸν ἐνόντα τρόπον, ταύτης ἠξίωσε, μηδένα παρὰ δύναμιν ἀπαιτῶν, ἀλλὰ καὶ παρὰ τῶν εὐτελῶν ὡς μεγάλα τὰ μικρὰ προσιέμενος. ἐντεῦθεν καὶ γὰρ ἐντυγχάνειν αὐτῷ πεποίθαμεν κατὰ τὸ μέτρον ἕκαστος τῆς ἐνούσης αὐτῷ σπουδῆς, καὶ πιστεύοντες ἐλπίζομεν οὐκ ἀποτεύξεσθαι τῶν ἐπηγγελμένων. τοῦτο παρακαλοῦν ἐστι καὶ τοῖς ἡμῶν ἡμᾶς ἀδεῶς δεσπόταις προσφέρεσθαι, τὸ ὀφειλόμενον ἕκαστον δουλικὸν δουλοπρεπῶς χρέος ἀποτιννύντας. διὸ δὴ κἀνταῦθα κἀγὼ τοῖς τοιούτοις λογισμοῖς καθυπεῖξα, | πειθαρχήσας ὅτι μάλιστα καὶ f. 323 θαρρήσας τῷ τοῦ σοῦ κράτους προστάγματι, καὶ τὴν εὐτελῆ ταύτην ὑπόμνησιν δουλικῶς τολμήσας ἐξέθηκα, πειρώμενος εἴ πως ἐκ γοῦν διαλειμμάτων, ἐπειδὴ μὴ καθ' ἑκάστην μηδ' αὐτοπροσώπως ἔξεστιν, εἰς ἐκεῖνον δυναίμην ἀνήκειν τὸν χρόνον, καὶ πάντ' ἐμαυτῷ τἀρχαῖα πορίζεσθαι ὧν περ ποτ' εἶχον ἀπολαύειν ἀφθόνως ὅτ' ηὐτύχουν αὐτοπροσώπως τῇδε τῷ σῷ κράτει προσδιαλέγεσθαι. ὃ νῦν μὴ μόνον μὴ καθ' ἑκάστην μηδ' αὐτοπροσώπως, ἀλλ' οὐδ' ἐκ διαλειμμάτων ἔξεστιν.

**14.** Ὃ δή μοι καὶ τεκμήριον ἐναργές ἐστι τῆς ἀπροσδοκήτως αἴφνης ἐπενεχθείσης μοι δυστυχίας, ὅτι σε δὴ τότε παρ' ἐλπίδ' εὑρὼν ὡς θησαυρόν, πρὸ τοῦ μετασχεῖν ἀφῃρέθην, ἀπονάμενος οὐ μικρὸν οὐ μέγα οὐδὲ παραπολαύσας τοῦ χρήματος, πλὴν εἰ μή πού τις εἴποι μοι τουτὶ μόνον ὡς ἔσχον

---

221 ἀποτεύξασθαι M

---

229 τῇδε : Thessalonicae, hieme 1349 - 1350 ; Cant. IV 16 : III 114 - 159 ; Greg. XVIII 2,1-3 : II 876,22 ; 878,19-21.

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/06/2024 07:08:23 EEST - 3.12.155.211

*αὐτὸ τὸ δόξαι. οὕτως ἀφ᾽ ἡμῶν ὀξέως διέπτης, ἅπαξ ὡς περὶ τοῦ φοίνικος ἐν πεντάκις ἑκατὸν ἐτῶν λέγεται περιόδῳ τὴν ἅπασαν | ἅπαξ ἐπισκοπεῖν* f. 323v *οἰκουμένην ὑψιπέτης διιών, ὡς μηδ᾽ ἀμυδρὸν τοὺς πλείους τῶν τὴν οἰκουμένην οἰκούντων, μᾶλλον δὲ καὶ πάντας, διιπτάμενον αὐτὸν ἰδεῖν δύνασθαι. οὕτω πρὸς ὀλίγον ἡμᾶς εὐφράνας ἀφ᾽ ἡμῶν ἀπεδήμησας, καθ᾽ ἅπαξ ἐξαρτήσας σαυτοῦ καὶ κατόχους τὸ παράπαν ἀποφηνάμενος ἄκροις χείλεσι γευσαμένους τῆς ἀπὸ τῆς σῆς γλώττης γλυκίονος μέλιτος ῥεούσης αὐδῆς, ὡσεί τινος ἀμβροσίας καὶ νέκταρος. καὶ μάλιστά γε πάντων καὶ πρό γε πάντων ἴδοι τις ἂν ἐμὲ φλογμῷ καὶ δίψει κατατακέντα, ὅτιπερ ἦν καὶ πρὶν ἐκ πολλοῦ σφόδρα κατειλημμένος πολλοῖς ἀκούσμασι τῶν ἐκ παιδὸς εὐθὺς παρὰ σοῦ γινομένων, καί με κατεῖχεν ὑπεραγαμένῳ θαῦμα καὶ ὑπερεκπληττομένῳ τὰ σά, καὶ ἦν ὑπερεφιέμενος καὶ καιροσκοπῶν ὡς εἰπεῖν, εἴ πού τινος εὐκαιρίας λαβοίμην καὶ ἰδεῖν καὶ προσκυνῆσαι καὶ ἀκοῦσαι καὶ ὡς δυνατὸν ἀπολαῦσαι | τῶν σῶν. καί μοι συνέβη τοῦ ζητουμένου κατ᾽ εὐχὴν παρ᾽ ἐλ-* f. 324 *πίδα καὶ μᾶλλον ἐλπίδος τυχεῖν, καὶ ὑπὸ πολλῶν ἦν ἤδη μακαριζόμενος ὡς εὐτυχήσας τοιοῦτον εὐτύχημα μέγιστον.*

**15.** *Ἀλλ᾽ ὁ τοῖς ἐμοῖς ἀκορέστως ἐπιχαίρειν εἰωθὼς καὶ ἐπεγγελᾶν βάσκανος δαίμων προσκόμμασι φθονεῖν μὴ παυσάμενος ἐμοὶ τῆς ῥαστώνης ἐβάσκηνε, καὶ ἀντὶ τοῦ πράσσειν καλῶς πρὸς τὸ δυστυχεῖν βίᾳ συνώθησε καὶ κατήπειξεν ἀπορρήξας με βίᾳ καὶ ἀποσπάσας τοιούτων προδήλων μεγίστων εὐτυχημάτων, μηδὲν ἕτερον ἀποδειχθέντα κερδάναντα ἢ τουτὶ μόνον ὅτιπερ οὐκ ἐφ᾽ ἑτέρων τινῶν βιοὺς ἔτυχον τῶν προγεγενημένων καὶ πρὶν γενέσθαι με παρεληλυθότων βασιλέων τε καὶ ἡγεμόνων καὶ καιρῶν καὶ πραγμάτων ὧν ἑτέρων τινῶν ἱστορούντων ἀκοῇ παρειλήφαμεν, ἀλλ᾽ ἐφ᾽ ὧν καὶ παρ᾽ ὧν σύ τε φὺς ἐνδόξως τραφείς τε καὶ ἀνατραφεὶς ὁδῷ προϊὼν μεγίσταις ταῖς ἐπιδόσεσι καὶ ἐς τόδε τὸ τῆς βασιλείας ὕψος ἐγκαίρως ἤρθης, ὑπὸ τοῦ Θεοῦ τηρούμενος | ἐν οὐκ ἐλαχίστῳ μέρει σπουδῆς, καὶ τοῦτο πρὶν* f. 324v *θέμενος τὸ προμεμελετηκέναι φιλοσοφεῖν ἱκανῶς. δι᾽ ὃ μέγα κλέος οἶμαι δεῖν εἶναι τοῦτο βασιλεῦσιν ἠκούομεν, ἐκ φιλοσοφίας τὸ τῆς βασιλείας προάγεσθαι καὶ βασιλεύοντας τοῦ φιλοσοφεῖν οὐκ ἀφισταμένους. ὅπερ ἐπὶ τῶν σῶν καιρῶν, πολλῶν ὄντων τῶν προγεγενημένων καὶ παρεληλυθότων ἐν πλείστοις ἔτεσιν, ἐπὶ τοῦ σοῦ μόνου κράτους ἐφ᾽ ἡμῶν αὐτῶν συμβὰν ἔγνωμεν, βασιλέα μέγιστον ἐκ φιλοσοφίας γεγενημένον καὶ βασιλεύοντα τοῦ*

---

*252 ἀλλ᾽ ὁ : ἀλλὰ* M  *253 προσκώμασι* codd.  *258 καιρῶν καὶ : κερῶν καὶ* S *καὶ* om. M  *260 σύ τε : σύ γε* M  *265 τοῦ : τὸ* codd.  *267 ἡμῶν : ἡμᾶς* codd.

---

*240 ὀλίγον* : tres fere menses ; supra, ad lin. *229* ; ubi nota standum esse testimonio Cantacuzeni, qui *exeunte* autumno Thessalonicam se profectum narrat, non Gregorae, qui scribit *ineunte.*

*242* Hom. A 249.

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/06/2024 07:08:23 EEST - 3.12.155.211

*φιλοσοφεῖν οὐδαμῶς ἀποσχόμενον. οὗ μεγίστου δηλαδὴ κλέους οὐχ ἁπλῶς νῦν πρῶτον πειρώμεθα, ἀλλ' ἐν πολλοῖς τε καὶ πρόσθεν καὶ μεγάλοις τοῖς πράγμασι γνόντες ἐσμέν, ἐφ' ἡμῶν αὐτῶν,οὐχ ἑτέρων.*

*16. Διὸ δὴ καὶ μᾶλλον ἡμεῖς ἐσμεν ἅπαντες, ὅσοι δηλαδή σε ἐπὶ τῶν αὐτῶν ἦμεν καιρῶν γινώσκοντες καὶ ἐς τόδε τοῦ χρόνου βιοῦντες ἥκομεν, πολλῶν τῶν ἐκ πολλοῦ παρεληλυθότων μακαριώτεροι καὶ εὐδαιμονέστεροι, οὐχ ἑτέρων τινῶν ἱστορούντων ἀκηκοότες, | ἀλλ' αὐτοὶ τοῦδε τοῦ θαύμα-* f. 325
*τος οἱ μὲν αὐτήκοοι γεγονότες οἱ δ' αὐτόπται οἱ δ' εἰσέτι καὶ νῦν ὁρῶντες καὶ ἀκροώμενοι. κἀγὼ γὰρ ἦν εὐθὺς ἐξ ἀρχῆς τῶν παρὰ σοῦ λεγομένων τε καὶ πραττομένων καὶ κατορθουμένων, τῶν μὲν πολλῶν λεγόντων ἀκηκοὼς τῶν δ' αὐτήκοος τῶν δ' αὐτόπτης, ἁπάντων λογισμῷ σταθηρῷ καὶ κρίσει μελετωμένων καὶ πληρουμένων κατ' εὐαρέστησιν τοῦ Θεοῦ, τῆς ἀληθείας σοι καὶ δικαιοσύνης προπορευομένων. τοῦτό μοι μέγιστον ἁπάντων κερδῶν εὑρέθη, ὡς ἔοικεν, ἀποτεταμιευμένον, καὶ οὐδὲν ἄλλο μεῖζον ἥγημαι τοῦδε, μάλισθ' ὅτι καὶ θεωρίας καὶ ὁμιλίας τοῦ σοῦ κράτους οὐκ ἀπηξίωσεν ὁ Θεός, ἀλλὰ πρὸς τῷδε παρέσχε καὶ τὸ μὴ ἐν λήθης γενέσθαι βυθῷ καὶ σκότει ἀλλ' ἐν τῷ τῆς μνήμης φωτὶ παρ' αὐτοῦ δηλαδὴ τοῦ σοῦ κράτους τηρούμενον φαίνεσθαι. τί γὰρ ἂν ἄλλο τις νοῦν ἔχων καὶ φαίη τούτου γε μεῖζον ἐμοί;*

*17. Οὐ χωρίς, τῶν ἄλλων ἁπάντων, ἵνα μὴ καθ' ἕκαστα διεξίω, τοῦτο μόνον εἰπὼν (οὐδὲ γὰρ δεῖ σιγῇ παρελθεῖν) καταπαύσω τὸν λόγον, ὅτι μετὰ τῶν ἄλλων ἢ καὶ πρὸ πάντων ὧν σοι παρέσχεν ὁ Θεὸς | ἄνωθεν δωρημάτων* f. 325v
*ἀφ' οὗπερ εἰς φῶς παρήχθης ἔσχες καὶ τὴν ἐκκλησίαν διὰ βίου παντὸς ἀκλόνητον, τοῖς ὀρθοδόξοις στηριζομένην καὶ ὑπερειδομένην δόγμασι, μηδαμόθεν ἁψαμένου σπίλου τινὸς ἢ ῥυτίδος αὐτῆς, ὃ τῶν ἄνωθεν δωρημάτων ἐστὶ καὶ τέλειον. οὗ καὶ αὐτὸς παρὼν μετὰ πάντων τῶν ἐπὶ παντὸς τοῦδε τοῦ χρόνου ἢ καὶ συμπαρὼν παροδεύων κατ' ἀγαθὴν δή τινα τύχην, οὐχ ἧττον ὡς οὐδ' ἀέρος οὐδὲ τῶν ἡλιακῶν ἀκτίνων τοῦ ἄνωθεν τοιούτου τελείου δωρήματος ἀφθόνως διὰ βίου παντὸς παραπέλαυσα, καὶ χάριν ἀπαύστως ὁμολογῶν εἰμι τῷ πάντων ἀγαθῶν δοτῆρι Θεῷ καὶ κράτει τῷ σῷ ὅτιπερ εὐεργετούμενος φαίνομαι ταῖς τῆς σῆς εὐμενείας αὔραις ἀναψυχόμενος. καὶ εἴης ἐς ὅσον μήκιστον, ἅγιε βασιλεῦ, τῇ τοῦ Θεοῦ παντοδυνάμῳ δεξιᾷ περιφρουρούμενος, τὰς τῶν ἐτῶν περιόδους σὺν εὐθυμίᾳ διιὼν καὶ ῥαστώνῃ κατὰ τὴν σὴν βούλησιν, ὡς ἂν καὶ ἡμεῖς οἱ σοῦ μόνου χρησταῖς ἐλπίσι μετὰ Θεὸν ἐξημμένοι τῶν κατ' ἔφεσιν ὡς ἐνὸν ἀπολαύειν ἔχωμεν.*

---

*285 τῷ τῆς : τῆς* om. M *289 σιγῇ : σε* M *298 - 299 σῷ ὅτι ὅτιπερ* S

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/06/2024 07:08:23 EEST - 3.12.155.211

## 2

### *Κυρῶι Μανουὴλ τῶι Ῥαοὺλ, πρὸς τὸν ἅγιον ἡμῶν αὐθέντην καὶ βασιλέα τὸν Καντακουζηνόν*

IOASAPH MONACHO EX IMPERATORE CANTACUZENO, CONSTANTINOPOLIM

*In Peloponneso, 1355 - 1360*

Cantacuzenus Emmanueli filio, Romanorum in Peloponneso despotae (1349 - 1380), commendavit Emmanuelem Raul, istumque, datis litteris, de ea re certiorem fecit. Gaudium hoc summum, summi culmen honoris ! Imperatori dignas agere gratias arduum est, non solum Emmanueli Raul, sed et omnibus semper et ubique. Sed faciendum quod in nobis est, tam erga principem quam erga Deum, cui pauperum non minus ac divitum semper placuit oblatio. Cantacuzenum vero, qui terrena propter Deum sprevit, nemo non fidenter alloqui potest. Quod quidem facit Emmanuel, ne bis bene passus ingratus videatur. Pergat ergo Cantacuzenus, nec desinat Emmanuelem commendare filio despotae, qui Peloponnesum servavit, superbos castigavit, virtute optimos aequavit, cui Nestorios annos Emmanuel precatur.

*Ἄριστε βασιλεῦ· ᾐσθόμην σου τῆς περὶ ἐμὲ φιλανθρωπίας, καὶ γνώμην ἔσχον εὐθὺς ὡς οὐδέποτε τῶν παρὰ τοῦ μεγάλου δεσπότου διαμάρτοιμ᾽ ἂν ἀγαθῶν. καὶ γὰρ τὸ παρακαλεῖν αὐτὸν μὲν ἐπὶ τὴν ἡμετέραν κηδεμονίαν, ἐμὲ δὲ τῆς τῶν γραμμάτων εὐεργεσίας ἀξιοῦν πολλῷ θαυμασιώτερα καὶ βελτίω πάντων ἡγοῦμαι. τί οὖν ἂν ἥδιον ὅλως καὶ γένοιτό μοι, τοιούτου μὲν ἀπολαύοντι δεσπότου τοσαύτης δὲ κηδεμονίας θαυμαστοῦ βασιλέως; ἐγὼ δὲ τὸ μὲν τῇ σῇ βασιλείᾳ τὰς ἀπὸ τῶν λόγων χάριτας ἀπονέμειν πειρᾶσθαι τῶν οὐ ῥᾳδίων ὑπολαμβάνω. περὶ ὅτου γὰρ βασιλέως εἰς ἑαυτὸν ἀνήρτηται πάντα | τὰ εὐδοξίαν φέροντα καὶ τουτ᾽ ἴσασιν ἅπαντες τί ἂν τις ἔχοι διανοεῖσθαι; ἐὰν οὖν ἐπιχειρῶμεν τὰ τοιαῦτα λόγῳ ψιλῷ κοσμεῖν, τάχ᾽ ἂν ἥττους δόξαιμεν καὶ τῶν οὐ θέμις ἀπτόμενοι. ἀλλὰ ταῦτα μὲν ὑμνήκασιν ἕτεροι τῶν ἐπὶ λόγοις πάλαι βεβοημένων καὶ τιθέασιν ἴσα καὶ τοῖς παλαιοῖς διηγήμασι, καὶ ἡμῖν ἴσως πάλαι ὑμνήθη τῶν σῶν πολλῶν καὶ μεγάλων ἀγαθῶν ἔνια, ὡς ἂν μὴ παντάπασιν ἀλυσιτελεῖς δοκῶμεν εἰς τὰς κοινὰς εἰσφορὰς τῶν ἁπάντων. καὶ τὰ σὰ μὲν ἴσως ἀπὸ τῶν ἡμετέρων*

(f. 299) — f. 299v

---

*2.* S 3, f. 299 - 301+314. M 1, f. 137 - 138. M¹, f. 299 - 300. Tit. : *ἐπιστολαὶ πολλῶν ἐλλογίμων ἀνδρῶν. ἐπιστολαὶ κυροῦ μανουὴλ τοῦ ῥαούλ* M.
*13 ὑμνήσθη* SM¹ : *ἐμνήσθη* M

---

*2. 2 δεσπότου* : Emmanuel Ioann. Aug. f. Cantacuzenus, 1349 - 1380. IV. 7. S. Lampros - K. Amantos, Βραχέα Χρονικά, Athenis, 1932, n⁰ 19 (p. 36) 9 et 15 ; n⁰ 27 (p. 46) 16.
*8* Post *ἑαυτὸν* supple *εὐνοίας, χάριτος,* uel quid simile.
*13 ὑμνήθη* : in ep. *1.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/06/2024 07:08:23 EEST - 3.12.155.211

*ἐγκωμίων οὔτε γενναιότερα οὔτε καλλίω γεγόνασι. μάλιστα μὲν οὖν καὶ δέδοικα μὴ καθ' ἡμῶν αὐτῶν ἔγκλημα τοῦτο γένηται, τὸ τὰ μείζω μὴ τοιαῦτα δύνασθαι ἀποφαίνειν, ὃ πᾶσα παθεῖν ἀνάγκη τοῖς ἐπιχειροῦσιν ἐγκωμιάζειν τὰ σά. οὐ μὴν διὰ τοῦτο κεκώλυται πάντως τοιαύτην ἀντίδοσιν ἀπονέμειν τοῖς εὐεργέταις τοῖς ἡμετέροις. εἰ γὰρ τοῦτο |* f. 300 *οὕτως, οὐδὲ τὰ πρὸς Θεὸν ἡμῶν παρεῖται κατὰ τὸ ἐφικτὸν ἀνυμνεῖν. ἀλλ' οὗτός ἐστιν ὁ μέγιστος ἀβελτηρίας λόγος. ἐπ' ἴσης γὰρ Θεὸς ἄγει τῶν εὐτελεστάτων τὴν προθυμίαν καὶ τῶν πλεῖστα ἐχόντων τὴν εἰσφοράν. καὶ τί λέγω ἐπ' ἴσης, ὅπου γε αὐτὸς ὁ Χριστὸς ἐπῄνεσε μᾶλλον τὴν γυναικὸς ἐκείνης τὴν προθυμίαν τῶν πολλὰ καὶ μεγάλα διαπραξάντων ὥσπερ ἐν Εὐαγγελίοις ἀκούομεν, ἀρίστην ὑπόθεσιν διδασκαλίας παρέχων ἡμῖν ὅταν τοῖς εὐεργέταις ἀποδιδόναι τὸ χρέος βουλώμεθα; ἐπειδὴ τοίνυν καὶ αὐτός, ὦ βασιλεῦ, τὰ πάντα χαίρειν ἀφεὶς τοῦ πρὸς Θεὸν ἔρωτος ἀπολαύεις, καὶ τῶν πραγμάτων πάλαι διδόντων κρατεῖν καὶ κύριον εἶναι τῆς ἐπιγείου ταύτης δυναστείας ἀθύρματα πάντα ᾠήθης πρὸς τὴν ἀληθινὴν τῆς σοφίας ἐπίγνωσιν πάσῃ γνώμῃ πρὸς Θεὸν νενευκώς, ἔξεστι δήπου πᾶσι τοῖς καὶ ὁποσονοῦν δυναμένοις ἀνυμνεῖν σε τὸν κοινὸν εὐεργέτην καὶ μετὰ θάρρους γε τοῦτο ποιεῖν. ἐγὼ δ' ἐν τῷ παρόντι πρὸς τὴν σὴν |* f. 300v *εὐφημίαν ἥκιστα διατελῶ προθυμούμενος. ἀλλ' ἵνα μὴ δοκῶ περὶ τὸν ἐμὸν εὐεργέτην ἠλίθιος εἶναι... ἀναίσθητος γὰρ ἂν εἴην ἐπιλελησμένος τῆς περὶ ἐμὲ κηδεμονίας καὶ τῶν γραμμάτων ἐκείνων ἃ πρὸς ἐμὲ πέπομφας. καὶ μὴ λήγοις, ὦ βασιλεῦ, τοιαῦτα δῶρα πέμπων ἡμῖν καὶ εὐφραίνων καὶ τὸν σὸν υἱὸν τὸν ἡμέτερον τουτονὶ καὶ μέγαν δεσπότην ἐπὶ τὴν ἡμετέραν κηδεμονίαν παρακαλῶν. ὃν ἐγὼ φαίην ἂν πρὸς Θεὸν οἰκήτορα καὶ σωτῆρα ταυτησὶ τῆς Πελοποννήσου καὶ μετὰ Θεὸν προστάτην καὶ κηδεμόνα ἡμέτερον. τὸ γὰρ εἰς τοσοῦτον ἀπωλείας ἐληλυθέναι τὰ ἡμέτερα τοῦτον δὲ δυνηθῆναι ἄρχειν Πελοποννήσου καὶ πάντων ἡμῶν, ἀρκεῖ πάντως δεῖγμα εἶναι τοῦτο τῆς αὐτοῦ σωφροσύνης καὶ μεγαλονοίας καὶ τὸ τὴν πατρῴαν ἀρετὴν ὑποφαίνειν. ὥστ' ἔπεισιν ἡμῖν τὸ τοῦ Πλάτωνος λέγειν, ἀγαθὸν τουτονὶ γεγονέναι διὰ τὸ φῦναι ἐξ ἀγαθῶν. οὗτος γάρ ἐστιν ὁ σώφρων καὶ ὁ τὴν ὑφερηφάνειαν |* f. 314 *κολάζων καὶ μηδενὶ ἄλλῳ ὑπείκων ἢ ἀρετῆς δόξῃ ἢ φρονήσεως. οὐ χρὴ καὶ πρῶτον καὶ ὕστατον καὶ*

---

*25* *πολλὰ* SM¹ : *πάλαι* M in textu, *πολλὰ* in mg. *27* *βουλόμεθα* codd. *ἐπειδὴ* SM¹ (compendio) : *ἐπεὶ* M *32* *ποιεῖν τοῦτο* M *42* *ἀρκεῖ δὲ* M *45* *ὑπερηφάνειαν* M¹ : *ὑπερηφάνιαν* S *ὑπερηφανίαν* M

---

*25* Mc. XII 43. Lc. XXI 3.
*39* *σωτῆρα* : cf. ep. *7,27*.
*44* Plat., Menex. 237a.
*46* Theogn. 3 - 4.

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/06/2024 07:08:23 EEST - 3.12.155.211

*διὰ παντὸς μεμνῆσθαί τε καὶ ἐπαινεῖν καὶ πᾶσαν πάντως προθυμίαν πειρᾶσθαι ἔχειν ὑπὲρ εὐκλείας ἧστινος οὖν τοῦ τοιούτου. γένοιτο δὲ αὐτῷ καὶ τὸ ζῆν ἐν μακροῖς τοῖς αἰῶσιν καὶ πλείοσιν ἢ κατὰ τὸν ὁμηρικὸν ἐκεῖνον Νέστορα, ἵνα καὶ ἡμεῖς τῶν ἐφετῶν ἀπολαύειν ἔχωμεν.*

## *3*

### *Μανουὴλ ὁ Ῥαοὺλ τῶι Λάσκαρι κυρῶι Σίμωνι*

LASCARI, DOMNO SIMONI, MYZITHRAM

*In Peloponneso, 1362. III*

Post luem illam notissimam A.D. 1348, altera pestis per Orientem grassatur ( A.M. 6870 = A.D. 1361 - 62 ). Diro morbo laborans non valuit Emmanuel Raul Simonem debitis insectari probris, quod Corintho Myzithram petens vix non per sua vestibula transierit, insalutato amico. Eodem malo captos non potuisse colonos suos regiis mensis solitam venationem subministrare pro solemni convivio ( in Nativitate aut Epiphania Domini, 1361 - 1362 ? ). Se quoque impeditum esse, inchoato iam quadragesimali ieiunio, ne se Myzithram conferret ad salutandum imperatorem ( Ioasaph scilicet monachum, ex Cantacuzeno Augusto, qui cum filio Matthaeo in Peloponnesum nuper appulerat ). Quantula sit valetudine vel ex ipsis litteris, male formatis, erui posse, aut ex sermone, non ad grammatices amussim exacto. Ne spem quidem superesse Myzithram eundi, supremum vale principibus amicisque dicendi. Explere velit in hac parte suas vices Simon, monasteriolum, monachos, colonos, principibus ( Cantacuzenis ) commendando. Pro tot in Emmanuelem beneficiis sit a Deo custoditus, gratus principibus. Quod si convalescet Emmanuel, salutatis principibus summum fortunae verticem conscendisse putabit.

*« Ἐν ἀπειλῇ ὀλιγώσεις » φίλτατε, φησὶ « γῆν » ὁ λέγων « καὶ ἐν θυμῷ* (f.333v) *κατάξεις ἔθνη ». ἧκεν οὖν ἐφ' ἡμᾶς καὶ αὖθις τὸ πρόσταγμα τοῦ Θεοῦ, οὐκέθ' ὥσπερ ποτὲ πρὶν ἀπειλοῦν — ἦ γὰρ ἂν οἱ πλείους τῶν ἁμαρτίαις πεφορτισμένων ἐσώθημεν τῶν θ' ἡμαρτημένων ἐξηγγελμένων τῶν θ' ὑπαρχόντων ἧπερ ᾕρειθ' ἕκαστος διανεμομένων καὶ διευθετουμένων — οὐδ' ἐν θυμῷ — σωτήριον γὰρ ἂν καὶ οὕτω πολλοῖς ὑπῆρξε κἂν ὁποῖόν ποτ' εἴη τὸ*

---

*3.* S 11, f. 333v - 336v. M 6, f. 147v - 149.

---

*3.* Tit. Myzithram : nomen hic et alibi apposui, quod Myzithrae Romanorum despotae sedebant.

2 Hab. III 12. *αὖθις* : altera pestis, post notissimam illam anni p.Ch. n. 1348, saeuiit a. mundi 6870, Christi 1361 - 62 ; Lampros - Amantos, Βρ. Χρ., n⁰ 15 ( p. 31 ) 12 - 13 ; n⁰ 52 ( p. 89 ) 26 - 27. Chronica brevia 19 et 27 de huius pestis anno discrepant a praedictis ; sed cum inuicem sibi pugnent parui pendenda sunt.

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/06/2024 07:08:23 EEST - 3.12.155.211

*προσβάλλον, πρόδηλον ἀπαραίτητον δεικνύον τὸν θάνατον, μόνον εἰ τὴν γλῶτταν οὐκ ἐπεῖχε, τά τε ἄδηλα δῆλα ποιεῖν τά τε βουλητέα ᾗπερ ᾕρεῖθ᾽ ἕκαστος περὶ τῶν προσόντων αὐτῷ διατίθεσθαι — ἀλλὰ σκηπτοῦ δίκην ἐνέσκηψεν ἐν ὀργῇ τῇ ἀνυποστάτῳ κημῷ καὶ χαλινῷ τὰς ἡμῶν σιαγόνας ἄγχον μὴ πρὸς αὐτὸν ἐγγιζόντων μήθ᾽ ὅλως ἐπιστρεφόντων. καὶ ἔστιν ἐλεεινὸν ἰδεῖν καὶ φοβερὸν τῆς φήμης παραπεμπούσης ἀκοῦσαι, φωνὴν ἀφιέναι μὴ συγχωροῦντος | πρὸς ἐξαγόρευσιν οὐδ᾽ αἱρουμένου τοῦ κάμνοντος καὶ μόνῳ* f. 334 *νεύματι καὶ τοῦτ᾽ ἀμυδρῶς, οὐδὲ γὰρ ἐναργῶς, ἐπιδεικνυμένου. καὶ θάπτομεν τοὺς τελευτῶντας ἀδακρυτί, τῷ παραδόξῳ τῆς συμφορᾶς ἀπροσδοκήτῳ πτοήσει τὴν ἔκπληξιν ὑφιστάμενοι. τοῦτό με χθὲς καὶ πρώην, οὔπω πάνυ πρώην, τὸ πάθος ἐνσκῆψαν καὶ ταῖς τῶν ἡμῖν ἔγγιστα προσαράξαν θύραις καὶ κτύπον αἴφνης ἀπροσδοκήτως μείζω βροντῆς ἁπάσης ἀποτελέσαν καὶ τὴν γῆν αὐτὴν ἐνσεῖσαν καὶ συνταράξαν τοῦ γράφειν ἐπέσχε πρὸς σέ, πάνυ τοι προτεθυμημένον βάλλειν ὀνείδεσιν ὅτι δὴ παρῆλθες ἡμᾶς ἐπανιὼν ἐκ Κορίνθου καὶ περὶ τὰς ἡμετέρας διιὼν μονονουχὶ θύρας μηδὲ παρακύψαι καταξιώσας, μή τί γε καὶ προσαγορεῦσαι. τοῦτό μου τὴν διάνοιαν καὶ τὸν νοῦν ἐκστῆσαν οὐδὲ λογικὸν ἀφῆκεν εἶναι οὐδὲ ὁρίζεσθαι. κατασέσεισται γάρ μοι καὶ ὁ ἐγκέφαλος καὶ τὸ λογιστικὸν σκοτοδίνης πεπλήρωται καὶ οὐθ᾽ ὅ τι χρὴ λέγειν εὑρεῖν δεδύνημαι, καὶ τὸ πρὸ | πάντων ὅ μ᾽ ἐχρῆν* f. 334v *δρᾶν καὶ τὸ πρὸς τοὺς πανευκλεεῖς ἡμῶν καὶ λαμπροὺς δεσπότας δουλικὸν χρέος ἀφοσιούμενον οὐδὲ γοῦν ἐκ τῶν δυνατῶν ἀνῆκεν ἐνδείξασθαι, τῶν παρ᾽ ἡμῖν τῇδ᾽ ἀγροτῶν τὸ πρόθυμον ἀπὸ τῶν ψυχῶν ἀφελόμενον κατὰ τὸν καιρὸν καθ᾽ ὃν ἔδει κατὰ λαγῶν ἀγωνίσασθαι, πανδαισίαν τὴν τῆς πανηγύρεως ἡμέρας, καὶ κοινῇ μὲν εἰπεῖν καὶ καθ᾽ ἕνα καὶ πανδημεὶ δὲ κατὰ τὸ εἰωθὸς ἀπαιτούσης, κατ᾽ ἐξαίρετον δ᾽ ἐπὶ τῶν βασιλικῶν τραπεζῶν, αἳ δὴ καὶ πολλῶν χρῄζουσαι καὶ πολλῶν εἵνεκα χρῄζουσιν· οὐ μόνον δέ, ἀλλ᾽ ἤδη με διανοούμενον εἰς προσκύνησιν τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως ἀναδραμεῖν, ἐν τῷ τῆς σεπτῆς ἤδη νηστείας καιρῷ, δέδοικα*

---

*8* ἐπεῖσχε M *15* ἀπροσδοκήτου M *26* καὶ τὸ om. M καὶ τοῖς S *29* τὴν aut delendum, aut legendum τῆς

---

*10* Psalm. 31,9.

*26* δεσπότας : Emmanuel despota et Matthaeus imp. Cantacuzeni ; supra, ep. *2,2* et Cant. IV 49 : III 358,10 - 360,20.

*29 - 30* πανηγύρεως : Natale Domini 1361 ? Aut Epiphania 1362 ?

*33 - 34* προσκύνησιν... ἀναδραμεῖν : cf. epp. *5,11* et *6,80*.

*33* αὐθέντου : Ioasaph ex imperatore Cantacuzeno in Peloponnesum uenit cum filio Matthaeo e carcrere liberato, ibique ultra annum commoratus est ; supra ad lin. *26*.

*34* νηστείας : post 28. II. 1362.

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/06/2024 07:08:23 EEST - 3.12.155.211

*μὴ καὶ βίᾳ με κωλύσῃ παντάπασιν, ἢ καὶ καθ' ἅπαξ αὐτοῦ τοῦ ζῆν ἀποστήσῃ, τοῦτ' ἐξ ὧν ὁρῶ καὶ πρὶν ἐλθεῖν ὑφορώμενον. τοῦτό με πάντως δὲ κἀκ τῶν γραφομένων ἄριστα συνιέναι ἔχεις, ὡς οὐκ ἀνίησιν ὡς χρὴ γράφειν πρὸς σὲ οὔτ' αὐτοσχεδιάζειν, μή τί γ' ἐπιστέλλειν δοκεῖν, | οὐδ' ὡς* f. 335 *Ἕλληνί σοι καθ' Ἕλληνας διαλέγεσθαι, ἀλλ' ὡς Δωριεῖ τινι Δωριεύς κἀκ Λακώνων Λάκωνι, καὶ κοινῷ Πελοποννησίῳ, κἀξ ἀπίης γαίης αὐτόχθονι. τοιοῦτός τις καὶ τοσοῦτος καὶ τηλικοῦτος ἐνέσκηψεν ἡμῖν πυρφόρος ὡς τύραννος ὁ θάνατος, ἀπαράκλητος ἀδυσώπητος ἀπαραίτητος βαρέως ἡμῖν ἐγκείμενος οὐχ ὥσπερ ποτὲ πρὶν ἀπειλῶν οὐδ' ὡς στρατηγὸς οὐδ' ἐνεδρεύων ὡς ἐν ἄλλοις εἴωθε ποιεῖν τοῖς καιροῖς, ἀλλ' ἀπότομος ὡς ἐξ ἄντυγος ἐξαρτῶν ταῖς σιαγόσιν ἡμᾶς. ἐβουλόμην μὲν οὖν, ὦ φίλτατε, καὶ μεθ' ὑπερβαλλούσης τῆς ἐφέσεως παρ' ὑμᾶς δραμεῖν καὶ πρό γε πάντων τὴν ὀφειλομένην δουλικὴν προσκύνησιν ἀποδοὺς τοῖς ἁγίοις ἡμῶν αὐθένταις, συγγνώμην τὴν εὐμενεστάτην εὐεργετικὴν αὐτοὺς ἐξαιτήσασθαι καὶ τὴν ὀφειλομένην δουλικὴν ἐμὴν ἀντιδοῦναι καὶ ἀπαλλάξαι τὰ ἔσχατα ὡς δὲ καὶ τὴν παρὰ πάντων γνησίων φίλων τε καὶ συνήθων καὶ τῶν λοιπῶν εἰωθυῖαν συνήθη τελευταίαν | δηλαδὴ συγγνώμην λαβεῖν αὐτήκοος καὶ ἀντιδοῦναι ζώσῃ φωνῇ* f. 335v *καὶ αὐτὸς ἅπασι τὴν παρ' ἐμαυτοῦ. ἀλλ' οὔθ' ὡς ὁρᾷς ἔμοιγε τοῦθ' οἷόν τέ ἐστι τό γε νῦν ἔχον, ἀλλ' οὐδὲ μετὰ τοῦτ' οὐδαμόθεν ἀφ' ἧς ὁρῶ σφοδρᾶς μάστιγος οὐδὲ θαρρεῖν οὐδ' ἐλπίζειν ἔπεισιν. ὅθεν οὗπερ ἔτι καὶ νῦν ἀντέχειν δοκῶ κἂν ὁποῖά ποτ' εἴη τὰ γραφέντα πρὸς σὲ (πάνυ τοῦτο βεβαίως εἰδὼς ὡς ἀφ' οὗπερ ἀλλήλοις συνέστημεν καὶ σειραῖς ἀφύκτοις φιλίας ἐδέθημεν ἄλλον ἐμαυτόν σε νομίζω) ἀντ' ἐμοῦ καὶ τουτὶ πλήρωσον ὡς φίλος σαφής. ταυτηνὶ τὴν συγγνώμην ἐξαιτήσας καὶ ἀντιδοὺς καὶ ὅ σοι φίλτρον πάλαι θαρρήσας ἐνέτηξα διὰ βίου τήρησον ἀμείωτον μὴ μεταμειψάμενος, ἀλλ' εἰς τοὺς ἁγίους ἡμῶν αὐθέντας ἀεὶ τῶν ἡμετέρων ἁπάντων τῶν τε κατὰ γένος ἡμῖν προσηκόντων τοῦ τε μονυδρίου καὶ τῶν ἐνασκούντων αὐτῷ καὶ τῶν προσόντων αὐτῷ ἀνθρώπων τε καὶ κτημάτων καὶ λοιπῶν πραγμάτων κινητῶν τε καὶ ἀκινήτων καὶ τῶν ἄλλων οὓς ἐδοκοῦμεν οἰκείους ἔχειν | καὶ* f. 336 *συνήθεις, προϊστάμενος καὶ ὑπερασπίζων, ὡς ἐμοῦ γε περιόντος ἐφαίνου καὶ τοῦ λοιποῦ δι' ὅλου φάνηθι βίου. φανείης δ' ἐς ὅσον μήκιστον διαβιοὺς ὑπὸ τῆς ἄνωθεν παναλκοῦς περιφρουρούμενος δεξιᾶς, ὁμοῦ θ' ὑγιαίνων καὶ*

---

*35 τοῦ* om. S *36 ὁρῶν* M *45 ὦ* om. M *46 ἀφέσεως* M *52* post *ἔμοιγε* M add. *τὸ θηρίον* quod deinde expunxit. *55 τούτῳ* M

---

*41 πυρφόρος* : pestis ; Soph., O. R., 27 ; ad rem v. supra lin. *1* et ep. ***4**,45 - 57.*

*49* et *51 ἔσχατα* et *τελευταίαν* : ut iamiam moriturus supremum uale dicit, sed re uere conualuit ; ep. ***4**,57.*

*57 ἄλλον ἑαυτὸν* : Pythagorae praeclare dictum, iterum iterumque laudatum.

**2 - 11 - 1956**

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/06/2024 07:08:23 EEST - 3.12.155.211

*εὐεκτῶν καὶ εὐδοκιμῶν, τῆς παρὰ τῶν λαμπροτάτων πρὸς σὲ δεσποτῶν εὐκταίας εὐμενοῦς διαθέσεως ἐς ἀεὶ ἐκτεινομένης τε καὶ ἐπιδιδούσης, πατὴρ πολλῶν παίδων ἀναφανεὶς καλῶν τε καὶ ἀγαθῶν. καὶ διὰ τοῦτο δὲ πολλὰ ἀγαθά σοι γένοιτο ὅτι μοι συνὼν ἀεὶ πολλῆς εὐθυμίας καὶ εὐφροσύνης ἔπλησας, ἄχαριν οὐδαμῶς οὐδέποθ' ἡμέραν οὔθ' ἑκὼν οὔτ' ἄκων προξενήσας ἀνῦσαι, φίλτατε, ἀλλ' ἁπάσας ἡδονῆς ἁπάσης κἀκ πολλῶν τρόπων ἐμπεπλησμένας. εἰ δέ μοι καὶ νῦν γένοιτο συνάρσει τῇ τοῦ Θεοῦ τὸν ὡς τύραννον ἐνσκήψαντα τουτονὶ διαδρᾶναι καὶ αὖθις θάνατον, καὶ τῆς κατ' ἔφεσιν εὐκταίας ἐμοὶ συνήθους εὐμενεστάτης εὐεργετικῆς εὐδιαθέτου καταπολαῦσαι καθάπερ εἴωθα θεωρίας καὶ ὁμιλίας |* f. 336v *τῶν πανευκλεεστάτων καὶ λαμπροτάτων ἁγίων ἡμῶν δεσποτῶν, τοῦτο σάφ' ἴσθι ὡς οὔτε τῆς Γύγου σφενδόνης ἀλλάξαιμ' ἄν, ἀλλ' οὐδὲ τοῦ Μίδου χρυσοῦ, μή τί γε χρημάτων εἰπεῖν τῶν Κροίσου. — ἔρρωσθέ μοι διὰ βίου πανοικὶ φίλτατοι, σχόντες ἐς ὅσον μήκιστον ἡδονῇ κραθεῖσαν τὴν ἔκτασιν.*

## 4

## *Τῶι παρακοιμωμένωι Ἀγγέλωι τῶι Καλοθέτωι*

**ANGELO CALOTHETO, MEDICO, MYZITHRAM**

*In Peloponneso, 1362, vere novo*

Calothetum obiurgare quod non scriberet saepe cupivit Emmanuel Raul, quamquam non ignorabat retorqueri posse in se sua iurgia, maxime cum natu sit maior. Verum Calothetus, et si natu minor, doctrina gravior est. Cur tandem scribendi laborem ferre non vult, cui licuit, quantum libuit, studere litteris? Contra Emmanuel, pauper et peregrinus (Thessalonicae: ep. *8,48-49*) victum quaeritabat per negotia, quibus implicato solatium unum fuit, familiaris illa consuetudo cum Calotheto. Hunc itaque scientiae disciplina clarum in medicis fecit et acceptum principibus (Cantacuzenis, Myzithrae sedentibus). Emmanuel vero, senio confectus et caecutiens, nemini iam, quod solebat, ab actis aut epistulis esse valet. Dignetur Calothetus litteris consolari amicum, quem invida fata, ne primus scriberet, impedierunt, cognatorum funeribus, animalium peste, ipso vitae discrimine. Tandem, superata peste, amicos visere volebat, vere novo, ubi primum equo vehi licuisset. Sed forte impeditus — equo lapsus alterum pedem offendit — quod corpore non viget, per epistulam agit. — Scripta epistula eodem tempore ac sequentes duae, ab eodemque, ut videtur, cursore, Myzithram delata est.

*Ἔδοξέ μοι πολλάκις, σοφώτατε, βέλεσιν ὀνειδῶν σε τρῶσαι, ὅτι δὴ* (f. 293)

---

*79 σχόντος* codd.

*4.* S 1, f. 293 - 295v. M 10, f. 150v - 151v.



Institutional Repository - Library & Information Centre - University of Thessaly
11/06/2024 07:08:23 EEST - 3.12.155.211

*τὸν τοῦ λόγου λύχνον ὑπὸ τὸν μόδιον τεθηκὼς εἴης καὶ οὐκ ἐπιτίθης τῇ λυχνίᾳ τοῖς χρῄζουσιν, καὶ τὸ τοῦ δεσπότου τάλαντον κατορύξας φαίνῃ, πολλαπλάσιον ἀκριβῶς εἰδὼς εἰσπραξάμενον, καίτοι σαφῶς ἐμπορεύεσθαι μεμαθηκὼς ὢν ὡς ἐπαυξῆσαι πολλαπλασίως καὶ σὺν πολλῇ τῷ δεσπότῃ προσκομίσαι τῇ παρρησίᾳ. καὶ ἐνεθυμήθην, εὖ ἴσθ', ὅτι, εἰ τοῦτ' ἐγχειρησαίμην τοῖς παραπλησίοις με καὶ αὐτὸς ἀντιπλήξεις, εὐπρόσωπόν τιν' ἔχων ἐκ προχείρου τὴν σκῆψιν ὅτι μὴ γράφοιμί σοι. μᾶλλον δ' ἴσως καὶ τοῦτο προσθείης ἂν ὡς καὶ γενεῆφι σοῦ προγενέστερος ὡς πρεσβύτερος πέφυκα, καὶ ἐχρῆν μ' ἄρχειν γράφοντα. πρὸς ὅπερ ἀληθεύων ἀπαντήσαιμ' ἂν ἐκ τοῦ ῥάστου, σοφώτερόν σε λέγων εἰ καὶ νεώτερον. τὸ δὲ σὲ λόγοις παιδόθεν προσκείμενον κἂν τούτοις οὕτως ἐπὶ μακρὸν ἀσκήσαντα, τῇ φιλοσοφίᾳ προσέχοντα καὶ συχνὸν ὅτι χρόνον αὐτῇ συ|μφερόμενον ἐνσχολάσαντα καὶ ὅλως γενόμενον* f. 293v *Μουσῶν τρόφιμον κἂν μηδενὶ τῶν ἄλλων ἁπάντων εἰπεῖν λειπόμενον, ἔπειτα μὴ ἐπιστέλλειν ἐθέλειν, ἀλλ' ἐπὶ τοσοῦτον κατοκνεῖν, σιωπὴν ἀσπαζόμενον, τίν' οὐκ ἂν πρὸς κατηγορίαν σὴν ἤγειρεν ; ἐγὼ μὲν οὖν οἶμαι πολλούς. οὐδὲ γὰρ ἔχεις εἰπεῖν ὡς κατ' ἐμὲ πεπέδησαι πράγμασιν ἀσχολίας γέμουσι τότε, οἷς αὐτὸς τὸν ἅπαντά μου σχεδὸν ἀναλώσας ἐφάνην βίον ἀφρόνως προσκείμενος, δέει — πῶς ἂν εἴποι τις; — προὔργου ⟨τοῦ⟩ λιμῷ περιπεσεῖν, ὅτι δὴ τῶν ἀκτημόνων ἐτύγχανον κἂν ξένῃ τότε διῆγον. ⟨τοῦτο⟩ δὲ νῦν ἀναλογιζόμενος, καὶ διανοούμενος οἷαν εὐτύχησα καὶ ἀφθόνως ⟨σοὶ⟩ συνὼν κατετρύφησα καὶ σὺν ῥαστώνῃ πολλῇ τῇ τότε, μακάριον καὶ μεγάλως γ' ἐμαυτὸν ἥγημαι καὶ εὐδαίμονα, ἀλλ' ἤδη καὶ μακαριώτατον καὶ εὐδαιμονέστατον. σύνοισθα γὰρ πάντως ἀκηκοὼς ὡς οὐδ' ἐμὲ τὰ κατὰ σὲ λέληθεν· ὅπως τἄριστον ἐκλεξάμενος ὡς ἀγχίνους ὢν ἐν τοῖς τότε, εὖ φρονῶν ἐν | ταὐτῷ καὶ* f. 294 *ποιῶν, περὶ μόνους θέσθαι προὔκρινας τὴν σπουδὴν τοὺς λόγους, τῇ τε φιλοσοφίᾳ καὶ τοῖς αὐτῆς τροφίμοις συνών. ὅθεν σοι καὶ τῶν Ἱπποκράτους δυσλήπτων ἐξεγένετο χρηματίσαι μύστην· διά τε τῶν Γαληνοῦ δυσεφίκτων ἀκροαμάτων τῆς τ' ἄγαν εὐκλεοῦς καὶ ὄντως θαυμαστῆς σαφηνείας διιῶν*

---

*2* τεθεικὼς M *3* χρήζουσι M *4* εἰδὼς om. M εἰσπραξάμενος M *6* ἐγχειρισαίμην καὶ M *10* ἄρχην M ἀπαντῆσαιμ' M *11* σὲ corr. ex μὲ M *17* γέμουσα codd. *19* ante λιμῷ in M spatium quatuor fere litterarum *20* post διῆγον in utroque codice spatium trium fere litterarum *21* οἷαν M post ἀφθόνως in M spatium quatuor uel quinque liitterarum *27* τοῖς αὐτοῖς codd. *29* διιῶν : δι' ὧν codd.

---

*4. 2* Mt. V 15.
*3* Mt. XV 18.
*9* Hom. Φ 439.
*9* πρεσβύτερος : cf. lin. *33* et ep. *6,72.*
*20* ξένῃ : Thessalonicae ; ep. *8,47 - 50.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/06/2024 07:08:23 EEST - 3.12.155.211

*κατέστης εἶναί τε καὶ ἀκούειν πολλῶν ἀντάξιος ἄλλων, τοῖς τε βασιλεῦσιν ὢν ἔνδοξος καὶ ἀπόβλεπτος ἅπασιν. ἐγὼ δὲ καὶ τὸ γραμματεὺς εἶναι κατήργημαι μηδ' εἰς γραμματεῖς τελεῖν ἐφικνούμενος, ὅτιπερ ἀμβλυωπίᾳ περιέπεσον, ὡς ἀκήκοας, ἥν μοι τὸ γῆρας λεληθότως πως ἐπελθὸν καί με κατειληφὸς ἀπροσδοκήτως ἐνέβαλε. καὶ οὐκ ἔνι μοι τὸ ἄλλοθέν ποθεν ⟨...⟩ ἢ καὶ ἀναπνεῖν ἤδη, ἢ μόνον τῷ ἀκούειν τῶν δυναμένων φθέγγεσθαι. ὧν εἴπερ τις εἷς τουτό ἐστι καὶ ὑπείληπται χἄτερος, καὶ ⟨σὺ⟩ συμφέρων τὰ κράτιστα κέκρισαι. διό με φαρμάκοις ἡδίστων σῶν ἐξιῶ γραμμάτων ὁ δυνατός, κουφιζόντων τὸ γῆρας τήν τ' αὐτοῦ ἀτονίαν ὑπορρωννύντων | κἀντεῦθεν τὴν* f. 294v *ψυχὴν καταπίπτουσαν ὡς δυνατὸν ἀνορθούντων. καὶ εἰ τοῦτο ποιοίης, ἴσθ' ὅτι πολλήν σοι γνώσομαι χάριν. θέλε δὴ ποιεῖν, μὴ κατοκνεῖν ἀνεχόμενος, εἰ βούλοιο κἀμὲ φθέγγεσθαι. εἰ δὲ καὶ μὴ πρότερον ἀφ' οὗπερ ἀπ' ἀλλήλων διέστημεν τοῦτ' ἐφαινόμην ποιῶν, μήτε θαύμαζε μήτ' ἀμελείᾳ συμβαίνειν τὸ δοκοῦν ἔγκλημα νόμιζε. πολλὰ γὰρ ἐφάνη μεταξὺ συμπεσόντα τὰ προσιστάμενα καὶ συνεχεῖς τὰς τῶν κακῶν ἐπιρροίας ἔχοντα, ὡς ἀηδίαν ἐμποιεῖν νῦν αὐτὰ καὶ γράφειν διεξέρχεσθαι ἅ τε θάνατος ἐπήνεγκε κατὰ γένος ἡμῖν προσήκουσι καὶ ἅπερ λοιμώδης ἡμῶν ἐπήγαγε τοῖς βοσκήμασι νόσος. καὶ συλλήβδην εἰπεῖν παγγενῆ τὴν ἁπάντων ἀπεβαλόμεθα κτῆσιν. ἀλλὰ ταῦτα μὲν ἕως ἐκείνοις, βέλτιστε καὶ θαυμάσιε, προσείχομεν τοῖς μὴ μένουσιν. ἐπειδὴ δέ με καὶ τὸν περὶ ψυχῆς δραμεῖν ἐπελήλυθεν, ᾧ μικροῦ με ταύτην ἀπορρῆξαι συνέβη, | ὅπουπερ, οὐχ ὅπως ἔνι δυνάμενα πάνθ' ὅσα τις κέκτηται* f. 295 *διδοὺς ὑπὲρ τῆς ἰδίας ψυχῆς ἀντίλυτρα, μή τί γε δέρμα ὑπὲρ δέρματος, ἀλλ' οὐδ' ἄλλο τι τῶν ἁπάντων οὐδέν, εἴγε καὶ ἐξῆν, ἀντιδίδοσθαι, ἀντ' οὐδενὸς ἦν νομίσας τὴν τῶν εἰρημένων ἁπάντων μεταβολήν, ἑνὸς ἐφιέμενος μόνου τοῦ διαδρᾶναι τὸν θάνατον, ὅτιπερ ὡς τύραννός τις πυρφόρος ἐπεχωρίαζεν ἀπαραίτητος καὶ οὐχ ὡς κλέπτων, οἷάπερ εἰώθει, ἐνήδρευε. τούτου δέ μοι δηλαδὴ γενομένου τοῦ διαδρᾶναι συνάρσει τοῦ Θεοῦ, πάντα δὴ τἆλλα γενναίως ἐνεγκὼν φαίνομαι. καὶ προθυμούμενος ἦν ἤδη, μικρὸν ἀνανήψας, καὶ τῆς ὁμιλίας αὖθις τῶν συνήθων ἤδη καὶ φίλων ἅψασθαι, καὶ τοῖς μὲν*

---

*33-34* *κατειληφὼς* M *35* *ἢ* M (saepius) *τῷ* : *τοῦ* codd. *36* *χἄτερος* M *37* *ἀξιῶ* M *38* *ἀπορρωννύντων* M *40* *ἀνεχόμενος* corr. ex *ἀνερχόμενος* M *48* *ἐπειδὴ* S (compendio) : *ἐπεὶ* M *49* *ᾧ* : *ὃ* codd. *μετ' αὐτὴν* M *53* *μεταβολὴν* : *βουλὴν* M

---

*30* « *ἰητρὸς γὰρ ἀνὴρ πολλῶν ἀντάξιος ἄλλων* » Λ 514.

*34* *ποθεν ⟨...⟩ ἢ* : excidit uerbum aliquod, ut *κουφίζεσθαι, ἰαίνεσθαι, παρηγορεῖσθαι*.

*50-53* *οὐχ ὅπως... ἀντιδόσθαι* : haec ad syntaxis canonem reuocari nequeunt, scriptoris, ut uidetur, non librariorum uitio.

*51* Iob II 4.

*54* *πυρφόρος* : v. ep. *3,41*.

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/06/2024 07:08:23 EEST - 3.12.155.211

*ὁρατός, μὴ συνεχῶς, ἐκ διαλειμμάτων γοῦν, γίνεσθαι, οἷς δ' οὑτωσὶ μὴ ἐξῆν, δ⟨ιὰ γραμ⟩μάτων συγγίνεσθαι. καὶ προὐνοούμην δαψιλεστέρας ἐκφυῆναι καὶ ἀ⟨νατεῖλαι⟩ τὰς πόας τοῦ ἔαρος ἀναλάμψαντος καὶ κατὰ μικρὸν αὔξοντος | ὡς ἐκ τοῦ ⟨προχείρου⟩ ἔχοιμι τοῦτο ποιεῖν, ἐνὸν τῷ παρίππῳ χρῆσθαι.* f. 295v *προὔφθακε δέ με ⟨κώ⟩λυ⟨μα⟩ γενόμενον. ἔνθεν τοι καὶ τὸν δεύτερον ὡς ὁρᾷς ἤδη πειρῶμαι στέλλεσθαι πλοῦν, τῇ διὰ παρίππου πρὶν ἐκείνης ἐκπεπτωκὼς ῥᾳστώνης ὃν ἔφην τρόπον, καὶ πρός γε σὲ πρότερός σου γράφειν ἐπῆρα χεῖρα, λύων σου τὴν σκῆψιν τοῖς πρὸς σὲ γράμμασιν.*

## 5

## Τοῦ αὐτοῦ ⟨τῶι βασιλεῖ⟩

IOASAPH MONACHO, EX IMPERATORE CANTACUZENO, MYZITHRAM

*In Peloponneso, 1362, vere novo*

Cantacuzeni beneficiorum non immemor ( ep. 2 ), Emmanuel Raul magno cum gaudio audivit eum appulisse ad Peloponnesum ( una cum filio Matthaeo, tempore pestis, A.D. 1361 - 1362 : ep. 3 ). Statim decrevit adire principem optimum, sed equo lapsus altero pede claudicat, reparata sanitate sine mora venturus. Interea Cantacuzenus habeat eum excusatum.

*Ἐγὼ δέ, μέγιστε βασιλεῦ, πανήγυριν ἡγησάμην τὴν ἡμέραν ἐκείνην,* (f.332v) *ἐν ᾗ τὴν σὴν κραταιὰν καὶ περιφανῆ βασιλείαν εἰς τὴν Πελοπόννησον ἀκήκοα προσβαλεῖν, καὶ χορεύων ἐξαίφνης καὶ βακχεύων ἐφάνην δι' αὐτὴν τὴν καλὴν ἀγγελίαν, ἥτις ἐξ ἑῴας διαδραμοῦσα τοὺς ἀνθρώπους εὐφραίνει, ἐπιδημίαν ἀγαθοῦ βασιλέως ἀκούσαντας. ὢ γλυκείας ἀκοῆς. ταυτηνὶ γὰρ ἐγὼ*

---

*59* inter ὁρατὸς et μὴ in utroque codice spatium quatuor fere litterarum *60* διὰ... γραμμάτων : inter δ et μάτων in utroque codice spatium trium tantum litterarum διὰ... συγγίνεσθαι M in margine καὶ... δαψιλεστέρας M in mg. *60 - 61* post καὶ ἀ in utroque codice spatium quinque fere litterarum *63* κώλυμα : λύ codd., deinde spatium sex uel septem litterarum τὸν : τὸ M

**5.** S 10, f. 332v - 333. M 5, f. 147. Edita, A. Χατζῆς, Οἱ Ῥαούλ, Ῥάλ, Ῥάλαι, Kirchhain, 1909, 30 - 31.

*3* βακχαίβων ex βακχαίρων corr. M

---

*61* ἔαρος : cf. ep. ***3**,34*.

*62* παρίππῳ : cf. ep. ***5**,14*.

*63* κώλυμα : equo lapsus pedem offendit ; ep. ***5**,13*.

*63 - 64* Diogenian., Prou. II 45 : Paroem. gr., t. II, p. 24.

**5.** *3* προσβαλεῖν : hoc euenisse anno p.Ch. n. 1361, tempore pestis, ex epistulis Emmanuelis Raul nunc primum innotescit.

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/06/2024 07:08:23 EEST - 3.12.155.211

*θείᾳ μὲν οὐκ ἴσην, πάσης δὲ φωνῆς ἀνθρωπίνης ἡγοῦμαι κρείττω. εἶτα πῶς νομίζεις, ὦ βασιλεῦ, ἐμὲ διακεῖσθαι, τῶν παλαιῶν ἐκείνων μεμνημένον τιμῶν καὶ τῆς λαμπρᾶς εὐμενείας καὶ ὅσων ἀπολαύειν εἶχον ἀπὸ τῆς σῆς βασιλείας τῆς ἡμέρου καὶ φιλανθρώπου, ἧς μέγα κλέος καὶ αὐτὸν οὐρανὸν εὐρὺν ἱκάνει; οὕτω δ' ἔχοντά | με καὶ πρόθυμον ὄντα καὶ σφοδρὸν καὶ τῶν* f. 333 *Ἰκάρου πτερῶν ἐπιθυμοῦντα, ὥστε πρῶτον φθάσαι καὶ προσκυνῆσαι καὶ τὸ εἰκὸς ἐκτελέσαι, δαίμων ἐβάσκηνε, δαίμων καὶ τῆς τοιαύτης προθυμίας ἐκώλυσε. συνέβη γάρ, οὐκ οἶδ' ὅπως, ξυμπεσεῖν μοι τὸν ἵππον κἀντεῦθεν καὶ ἐν ἑτέρῳ μὲν μέρει πληγῆναι τοῦ σώματος, καὶ τὸν ἕτερον δὲ τοῖν ποδοῖν ἀπὸ τούτου μάλα ἀλγῆσαι καὶ σχεδὸν μηδ' ὁποσονοῦν ἔχειν βαδίζειν. κάθημαι οὖν τὴν πικρὰν ὀδυρόμενος ταυτηνὶ συμφοράν, καὶ ὅτι τῶν σῶν ἀγαθῶν ἀπολαύειν οὐκ ἔχω μάλα αὐτίκα, καὶ τῆς σῆς θαυμαστῆς συνουσίας ἴσα καὶ τῷ τῆς ἡλιακῆς ἀκτῖνος στέρεσθαι ἥγημαι. ἀλλ' ὅταν δῷ ὁ Θεὸς ἀπαλλαγῆναί με τοῦ δεινοῦ ἀφίξομαι καὶ αὐτός, μάλα ἀφίξομαι, ἐπεὶ τὰ κατ' εὐχὴν ἡμετέραν ἐξέβησαν ἅπαντα καὶ θαυμαστοῦ βασιλέως ἐπέλαμψεν εἰς ἡμᾶς παρουσία. σύγγνωθι τοίνυν, ὦ βασιλεῦ, πρὸς Θεοῦ καὶ τῆς σῆς φιλανθρωποτάτης ψυχῆς, καὶ τὸ πρᾶγμα μηδαμῶς ὀλιγωρίαν νομίσῃς.*

## 6

## *Τῶι Ῥαούλ, τῶι κυρῶι Μανουὴλ τῶι Μετοχίτηι*

DOMNO EMMANUELI METOCHITAE, MYZITHRAM

*In Peloponneso, 1362, vere novo*

Myzithra nescio quorsum iter facientes Metochita et Gabrielopulus philosophus, et in transitu ab Emmanueli Raul hospitio recepti, spem eidem fecerunt se in reditu similiter ad eum diversuros esse. A latronibus deinde, Latinis genere, captus Metochita et modica pecunia redemptus, Myzithram rediens amicum non salutavit, sed nihilominus, domum reversus, ei exprobravit in epistula quod non scripsisset, atque facete interrogavit, furumne manipulum alterum, et penitus indoctos, reputaret amicos Myzithrae congregatos. Rescribit Emmanuel Raul se cum dolore captum Metochitam, et cum gaudio liberatum audivisse; gratulari amico quod meritum eius minime perspexerint Latini; alioquin ne pro magna quidem pecunia dimissuros fuisse. Gratum

---

*6 κρεῖττον* M *9 τῆς* om. M *12 δαίμων* semel delendum? *15 ὁποσονοῦν* (?) ex *ὁποσοῦν* S : *ὁποστιοῦν* M *17 σῆς* : *αὐτῆς* M *18 τῷ... ἀκτῖνος* : *τῶν ης ἡλιακῶν καὶ ἀκτῖνος* ( ex *ἀκτίνων* ) S *τῆς ἡλιακῆς ἀκτῖνος* M

---

*9-10* Hom. ϑ 74.
*13 ἐκώλυσε* : cf. ep. *4,63.*
*13 ἵππον* : cf. ep. *4,62.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/06/2024 07:08:23 EEST - 3.12.155.211

nuntium attulisse sibi Chortatzem et Cydonium, seque ab eisdem edoctum esse de reditu Metochitae, per eandem viam facto. Despectum itaque ab amico, ob omissam salutationem se non scripsisse, nec propterea occasionem dedisse suspicandi se spernere amicos, quorum coetum Graeciae florem delibatum reputat. Claudit epistulam nuntiando se mox venturum esse ad salutandum imperatorem — Ioannem sicilicet Cantacuzenum, qui nuper cum filio Matthaeo in Peloponnesum venerat, A.M. 6780, A.D. 1361-62, tempore pestis, ut ex epistulis 3 et 5 erui potest.

*Ἀκηκόαμέν σε, σοφώτατε, περιπεσόντα λησταῖς καὶ κατασχεθέντα. καὶ* (f.295v) *αὐτίκα μου τὴν ψυχὴν ἐξ ὑπερβαλλούσης ὡς εἰκὸς λύπης ἀθυμία κατέσχε καὶ σκοτοδίνης με πίμπλησι· καὶ ἤθελον μὲν ἐμαυτὸν παραμυθεῖσθαι καὶ θάρσος ὕπεισί μέ πως ὅτιπερ Πλατωνικός τις εἴης, τὸ φιλοσοφεῖν ἐκεῖθεν ὢν κεκτημένος. ἐκ μέρους δ' αὖθις οὐκ εἴα θαρρεῖν περὶ σοῦ ὅτιπερ ἦν ἐγνωκώς σε Βυζάντιον αὐτόχθονα καὶ πάνυ ἀνέκβατον, καὶ τῇ κα|θ' ἡμᾶς* f. 296 *παμβεβήλῳ καὶ πολυθρυλήτῳ λίσπῃ ταύτῃ τῇ ἀναιδεῖ τε καὶ πολυπράγμονι μηκέτι προσομιλήσαντα. καί με κατεῖχε δέος, μὴ πρὸς τὰς τοῦ Διονυσίου πέδας λειποψυχήσῃς καὶ οὐ κατὰ τὸν σὸν γενναίως ἐνέγκῃς Πλάτωνα — μάλιθ' ὅτι καὶ Πόλλις οὐ παρῆν σοι πιεζομένῳ — τὴν συμφοράν, οὑμὸς αὐτόχθων καὶ πολίτης ὁ Σπαρτιάτης ἐκεῖνος. ὅς, εἰ καὶ παρῆν, ἀπεπέμπετ' ἂν καὶ μεθ' ὕβρεων, καὶ οὐδ' ὀλίγων ὠνεῖτό σε τῶν ἀργυρίων ὡς Πλάτωνα. εἰ γὰρ ὁ Λατῖνος ἔφθανεν ἐπιγνοὺς σὲ κατασχὼν ὡς ὁ τύραννος Σικελίας Πλάτωνα, οὐδὲ πολλοῦ χρυσοῦ ποσότης ἐλυτροῦτ' ἄν σε τῶν ἐκείνου δεσμῶν, μή τί γε ὀλίγα ἀργύρια. ὅθεν ἔχεις μεγίστην λαβὼν ἀφορμὴν ἀπαύστως εἰδέναι χάριν τῷ πάντων ἀγαθῶν δοτῆρι Θεῷ, τῆς οὕτως ἀπροσδοκήτως κατ' εὐχὴν ἐκβάσεως οὐχ ἧττον ἢ κατ' ἐλπίδα σοι σωτηρίας. ἐγὼ δ' ἠθύμουν ἐπὶ τῇ συμφορᾷ ὡς εἰς βάθη κακῶν ἐμπεσών, | ἀπορῶν ὅ τι πρὸς βοήθειάν* f. 296v *σου τοῦ φιλτάτου δρῴην, καὶ τὸ πᾶν εἰς τὸν πάντα δυνάμενον ἀνῆγον, εὐχαῖς πάνυ τοι πεπεισμένος ὢν ἐκ βρέφους, μεμαθηκὼς περὶ τῶν προσεχόντων Θεῷ τὸ « Πρός με κεκράξεται καὶ ἀκούσομαι αὐτοῦ », καὶ πρός γε τὸ*

---

*6.* S 2, f. 295v - 299. M 11, f. 152 - 153v. Tit. *τῶι κυρῶι* : *κυρῷ* M
*1 κατεσχεθέντα* M *2 ὑπερβαλούσης* S *3 πίμπλησον* M *7 πολυπράγμονον* codd. *9 λειποψυχήσας* M *10 πόλις* codd. *18 βοήθειαν σοῦ* S

---

*6.* Tit. : Emmanueli : ille, puta, cui inscripta est ep. 30 Demetrii Cydonii : uterque Peloponnesius, Emmanuel et Metochita uterque ; amicus ille Georgio philosopho Thessalonicensi, iste philosopho Gabrielopulo, quem a Georgio non distinguendum censeo.

*7 λίσπῃ* quid sit nescio, nisi forte scribendum sit *λάσπῃ*, uulgari uocabulo, quod faecem sonat.

*10* Pollidi, Platonis uenditori, partes tribuit noster Anniceridis Cyrenaei qui philosophum redemit ; Diog. Laërt., III 19 - 20.

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/06/2024 07:08:23 EEST - 3.12.155.211

«Μετ' αὐτοῦ εἰμι ἐν θλίψει» καὶ «ἐγγὺς Κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ». περὶ δὲ σοῦ γ' ἐκ Συρακουσῶν ὅ τι γνοίην πάνυ τοι ἀμηχάνως εἶχον. κλονουμένῳ δ' ὅμως ὑπ' ἀλλεπαλλήλων οὕτω πνευμάτων τῶν λογισμῶν καὶ μόνον οὐ κινδυνεύοντι καταδῦναι, ⟨ἐξ⟩αίφνης ἀπροσδοκήτως ὁ καλὸς Χορτάτζης ἐφίσταται μετὰ τοῦ Κυδώνη. οὓς ἰδὼν ἀνένηξα καὶ ἀνέσχον τοῦ τε βυθοῦ τῆς τῶν κακῶν θαλάσσης τῶν τε κυμάτων καὶ τῶν πνευμάτων ἐκ μόνης, ὡς εἰπεῖν, θεωρίας, καὶ πρὶν περὶ σοῦ πυθέσθαι τί τε εἴης γεγονὼς ἢ ποῦ τυγχάνεις προὔφθακεν ὁ Κυδώνης ἀγαθῶν ἀγγελεὺς καὶ ἀγγέλλειν πάνυ τοι εὐφυῶς ἔχων, ἐντεῦθεν ἀρξάμενος ὅτι τε | σεσω- f. 297
σμένος εἴης καὶ ὅτι παρὰ τῇ θύρᾳ δακτυλοδεικτὶ μόνον οὐχ ὁρώμενος παρῆλθες ἡμᾶς, μηδὲ παρακύψαι καταξιώσας ἢ προσειπεῖν, καίτοι σου περικειμένους τοσοῦτον καὶ τῷ πρὸς σὲ διαπύρῳ ἔρωτι φλεγομένους καὶ πόθῳ. πάντως γὰρ οἶσθα, καὶ τουτονὶ μάρτυς ἀξιόχρεως ὁ ἐν φιλοσόφοις μέγας Γαβριηλόπουλος, ὅπως οὐκ αὐτὸν μόνον ἀλλὰ καὶ σὲ σειραῖς ἐντολῶν σὺν πολλῇ παρακλήσει κατασχεῖν ἐπειρώμην, μή με παριδεῖν ἐπανήκοντας, ἀλλ' ἐκνεῦσαι μικρὸν καὶ προσομιλῆσαι, καὶ βραχύ τι προσαναπαύσασθαι. καὶ τάπης ἦν θαυμαστὸς ὃν οὐκ ἀγνοεῖς ἡπλωμένος καὶ προσμένων ὑμᾶς, πολλῷ τῆς Ξέρξου πολυθρυλήτου χρυσῆς ἐκείνης πλατάνου βελτίων καὶ τιμιώτερος, παρ' ὅσον ἡ μὲν ἐκείνῳ μόνῳ τῷ Ξέρξῃ, κενὴν θηρωμένῳ δόξαν, ἐξαρκεῖν ἐδόκει, τοῖς δὲ λοιποῖς οὐδὲ καύσωνι φλεγομένοις ἐλυσιτέλει· ὁ δέ γε πᾶσι τοῖς ὀρεγομένοις τὴν τέρψιν ἱκανὴν δίδωσιν ἀφειδῶς | παρεχόμενος, εὐκρά- f. 297v

---

*25* ἐξαίφνης : αἴφνης codd., sed in M praecedit spatium trium fere litterarum *26* ἀφίσταται codd. *30* τε om. M *32 - 33* περικαμένους S *40* δόξα M

---

*21 - 23* Psalm. 90,15, 144,18.

*29* Κυδώνης : non praeclarus ille Demetrius, qui tunc Constantinopoli τὸν μεσάζοντα agebat, nec adhuc Peloponnesum uiderat, ut ipse testatur ep. 33, 30 - 31.

*34 - 35* Γαβριηλόπουλος : Georgio Gabrielopulo philosopho inscripta est ep. 130 Demetrii Cydonii, Georgio philosopho (Thessalonicensi) nonnullae aliae eiusdem. Anno 1355, die 24 Iulii, Candidae in Creta morabatur Georgius Gabrielopulus Constantinopolitanus. Huic erat nepos (ex sorore utique) Demetrius Cydonius (alius a scriptore), qui auunculo compilato Coronen aufugit; v. Appendicem nostram. Potuit Gabrielopulus propter Cydoniorum affinitatem usurpare cognomen eorum. Itaque non alium a philosopho Gabrielopulo Georgio, Georgium illum Cydonium philosophum puto, cuius exstat epigramma in Demetrium Cassandrenum Thessalonicensem, scriptum Myzithrae, paulo post 7. IV. 1362; Rivista di filologia e d'istruzione classica, 26 (1898) 394.

*37* τάπης : cf. ep. *10,11 - 12.*

*39* πλατάνου : Herod. VII 27; Schol. in Aristid., t. III (Dindorf), 147,18-27.

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/06/2024 07:08:23 EEST - 3.12.155.211

*του πιπλάμενος ἀεὶ τοῦ ἀέρος, τῷ εὐτυχεῖν εὐσκιοφύλλων καὶ ὑψικόμων τῶν ἐπισκιαζόντων καὶ ἐπιρριπιζόντων, οὐ χρησίμου δηλαδή γε μέρους οὐ μικρὸν οὐ μέγα παρῇν ἐκείνῃ. σὺ δὲ ὥσπερ ἀπό τινος δυσμενοῦς ἡμῶν δηλαδή γε ἀποδιδράσκων σιγῇ παρῆλθες. τίν' οὐκ ἂν αὕτη ἡ ἀδικία παρέπεισεν ἀθυμεῖν; ἐμὲ δ' οὐ μικρὸν οὐ μέγα λογίσασθαι τὸ πραχθέν, ἀλλ' ἑνί γέ τῳ τούτῳ τῷ τῆς σῆς ἀπροσδοκήτου σωτηρίας ἠρκέσθην καὶ τῷ Σωτῆρι Θεῷ τὴν χάριν ἀνωμολόγουν· καὶ ἅπερ ἀπωλωλέκεις, τὴν αὐτῶν ἀντ' οὐδενὸς ἡγησάμην ἀπώλειαν, εἰθισμένος ὢν ἐκ πολλοῦ τοιούτων τε καὶ τοσούτων καὶ τούτων ἐπέκεινα συνεχῶς ἀπολλυμένων γενναίως φέρειν· καὶ ἦν εὐθυμῶν ὅτι σέσωσαι. ὅθεν οὐχ ὅπως μακρῶν ἡμῖν ἔδει γραφῶν, ἀλλ' οὐδὲ Λακωνικῶν οὑμενοῦν, καίτοι Δωριεῦσι συνοῦσιν. εἰ δέ γε σὺ γέγραφας, ὡς ἡ νῦν ἐπιστολὴ δείκνυσιν, ἡμεῖς παρ' οὐδενὸς | οὔτ' ἐγγράφως οὔτ' ἀγράφως* f. 298 *ἐς δεῦρο τουτ' ἔγνωμεν. ὅθεν μηδὲ σὺ σφόδρα θέλε βάλλειν ἡμᾶς ὀνείδεσι, τῇ τοῖς σοῖς χείλεσιν ἐγκαθημένῃ πειθοῖ θαρρῶν καὶ χαριζόμενος, ἀλλά σοι μελέτω τῶν ὧν εἰς ἡμᾶς πεπραχὼς ἔφθης ἀδίκως δίκας ὅπως ἀποδῷς. ἐμὲ γὰρ οὐκ ἄλλο τι τοῦ γράφειν ἐπέσχεν ἢ τοῦτο, νομίσαντα σὲ τὸ καθ' ἡμᾶς ἐν οὐδενὶ λόγῳ θέμενον. εἰ μὴ γὰρ ᾧδε τουτὶ συνέβαινεν, ἀλλὰ δι' ἑτέρας, ὡς ὁ Γαβριηλόπουλος, τὴν ἐπάνοδον καὶ αὐτὸς ἐποιοῦ, καὶ κατέγνως ἂν ἡμῶν, εὖ ἴσθ' ὅτι, τῷ μήκει τῶν γραφομένων, καὶ ἀδολεσχίας ἂν ἔγκλημα περιῆψας ἡμῖν, τῇ σκήψει πλατυνομένοις τῇ τῆς βασκάνου τύχης ᾗπερ ἐνέτυχες. οὐδὲ γὰρ σύ γε μετὰ πολλοὺς παρ' ἡμῖν, ἀλλ' εἴ τίς σε καὶ πρό γε πάντων εἰπεῖν ἐθέλοι, οὐκ ἂν ἁμάρτοι. οὕτω διετέθην ἐγὼ πρὸς σὲ καὶ διάκειμαι, καί σοι χάριν εἰδώς εἰμι ὅτι ὡς οὐδενί γέ τῳ ἑτέρῳ τῶν φίλων ἐντυχὼν παρακέκλημαι γράμμασιν οἷς ἔδει συμφέρεσθαι, καὶ ζημίαν ὑπερβάλλουσαν ἥγημαι ὅτι τοσοῦτον ἀπὼν ἀφ' ὑμῶν εἰμι. | οὐ γὰρ ὁρμητήριον* f. 298v *ὡς σὺ φῄς, ἀλλὰ Ποικίλην καὶ Ἀκαδημίαν καὶ Μουσῶν οἰκητήριον καὶ τὸν ὑμῶν σύλλογον Πανελλήνιον ἥγημαι, ὑπὸ δ' ἀνάγκης ἀφίσταμαι. ἀνάγκῃ γάρτοι φασὶν οὐδ' αὐτοὶ θεοὶ μάχονται. ὃ δὴ τοὐνθ' οὕτως καὶ οὐκ ἄλλως ἀναμφίλεκτον ἔχων τῇ σῇ πρὸς ἡμᾶς εὐσπλάγχνως καὶ ὑπὲρ ἡμῶν, ὅποιπερ ἂν διατρίβων εἴης, καὶ γνώμῃ καὶ γλώττῃ χρῶ καὶ τοῖς γράμμασι, πάνυ τυγχάνων νῦν ἐν ἀκμαῖς καὶ μέγα δυνάμενος, καὶ μή με βαθεῖ τῷ γήρᾳ*

---

43 *πιμπλάμενος* M *εὐσκιοφύλλων* : pro *φύλλων* malim nomen arboris, e.g. *πτελεῶν* ut Theocr. VII 8, aut *δρυῶν* ut Hom. Ξ 398. ι 186, quod fortasse reposuissem nisi eadem uerba occurrissent ep. *10,12*. *51 καὶ τούτων* om. M *62 - 63 ἐτέτυχες* S *63 καὶ* om. M *πρό γε* : *πρόειγε* M *70 ὃ* : malim *ὁ* *71 ἔχον* codd. *73 βαθεῖαι* M

---

*69* Simonid. ap. Plat., Prot., 345 d.
*73 γήρᾳ* : cf. ep. *4,9* et *33*.

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/06/2024 07:08:23 EEST - 3.12.155.211

*καταπεπονημένον ἀπαίτει τοῖς ἴσοις ἀμείβεσθαι, ὥσπερ οὖν πάντως οὐδ᾽ ἐν ἀγῶσι. « Πάλαι ποτὲ » γάρ φησιν « ἦσαν ἄλκιμα Μιλήσιοι », καὶ « ἄμμες ποτ᾽ ἦμες, ὕμμες δέ γ᾽ ἐστέ »· καὶ τοῦθ᾽ οὕτω δρῶν, ἴσθι, κἀμὲ καὶ δυσκίνητον ὄντα παρακαλέσεις ἀντιφθέγγεσθαι τὸν ἐνόντα τρόπον, — ὃ δὴ κἂν ὄρνισιν ὁρῶντες, ἀκούομεν ὡς ἐν παραθήξει γινόμενον — καὶ μὴ κατόκνει μηδὲ κατολιγώρει, ἀλλὰ θέλε δρᾶν ἐκ ⟨...⟩ τοῦτ᾽ ἔχων, εἰ βούλοιο | κἀμὲ* f. 299 *φθέγγεσθαι. ἐγὼ δ᾽ ὅσον οὐκ ἤδη παρ᾽ ὑμᾶς ἀφίξομαι, προσκυνήσων τὸν ἅγιον ἡμῶν αὐθέντην, εἴ γε τοῦτ᾽ εἴη καὶ τῷ Θεῷ βουλομένῳ. — ἔρρωσό μοι τὸ προσφιλέστατόν μοι καὶ ὄμμα καὶ πρόσφθεγμα, γενναιότατε καὶ σοφώτατε.*

## 7

### Ὁ Ῥαοὺλ τῶι μεγάλωι δομεστίκωι

ALEXIO LASCARI METOCHITAE, MAGNO DOMESTICO, THESSALONICAM

*In Peloponneso, 1366 incipiente*

Audientes Peloponnesii Alexium iterum praefectum esse Thessalonicae ( quam rexerat annis 1349 - 1350 ) laetantur, memoriaque recolunt res ab eo praeclare gestas cum regeret Peloponnesum, ante despotam scilicet Emmanuelem Cantacuzenum ( 1349 - 1380 ). Collaetatur Emmanuel Raul ; plaudunt omnes viri sensati quod imperator ( Ioannes V Palaeologus ) ad exteros — in Pannoniam scilicet — profecturus ( 1365 - 1366 ), morem gesserit Thessalonicensibus Alexium patriae periclitanti denuo praefici postulantibus, quo curante rem publicam nihil detrimenti capturam praedicit.

*Ἐπεὶ Θεοῦ διδόντος τῆς Θεσσαλονικέων ἐπέβης ἀρχῆς οὐκ ἔστιν εἰπεῖν* (f. 330) *ὅσον ἡ φήμη τὰς ἑκασταχοῦ πόλεις περιιοῦσα εὐφραίνειν παρέχει, καὶ τῶν πάλαι γενναίων ἐκείνων κατορθωμάτων μεμνῆσθαι ὧν εἰς αὐτὰς ἐπεδείξω. καὶ γὰρ τοῖς Πελοποννησίοις τουτοισὶ ἅπασιν εἰς ἀκοὴν ἐρχόμενον τὸ σὸν*

---

*77 κἂν* M *79 μηδὲ* : *μη* M *ἐκ τοῦτ᾽* : leg. *ἐκ ⟨τοῦ προχείρου⟩ τοῦτ᾽* ? *80 προσκυνήσω* S : *προσκυνῆ* M *81 βουλόμενον* codd.

***7.*** S 9, f. 330 - 332v. M 4, f. 145v - 146v. Tit. *Ὁ* om. S

*2 περιοῦσα* M *4 τοῦτοισὶν* S *τουτοισὶν* M

---

*75* Aristoph., Plut. 1002. 1075.

*75 - 76* Plut., Lyc. 21.

*82 αὐθέντην* : Ioasaph ex imperatore Cantacuzeno ; v. epp. ***1*** ; ***2*** ; ***3,33*** ; ***5.***

***7.*** Tit. : Alexio : v. ep. ***8.*** F. Dölger, Neues zu Alexios Metochites und zu Theodoros Meliteniotes, Miscellanea Giovanni Mercati, t. III ( Studi e Testi, 123 ) Città del Vaticano, 1946, 238 - 245.

*3 πάλαι... ἐπεδείξω* : Thessalonicae praefuit Alexius, tunc protosebastus, anno 1349, et fortasse iam ante, uerum post annum 1345.

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/06/2024 07:08:23 EEST - 3.12.155.211

ὄνομα χάριν τινὰ κομίζον ἔρχεται καὶ τὰς τῶν ἀκουόντων ψυχὰς ἡδονῆς
πάσης καὶ εὐφροσύνης πίμπλησιν. ὅθεν καὶ μακροῖς τοῖς ἐπαίνοις καὶ μάλα
ἡδέως τὸν πάντα ἄριστον σὲ περιφέρουσιν, εὐεργέτην αὐτῶν ἀποκαλοῦντες
καὶ πλήν τινων, καὶ τούτων ὀλίγων πάνυ, μόνον ὡς ἀληθῶς ἄρχειν εἰδότα,
μεμνημένοι | δήπου τῆς εἰς αὐτοὺς τῶν καιρῶν ἐκείνων εὐδαιμονίας ἧς διὰ f. 330v
σοῦ τὸ πρόσθεν ἀπολελαύκασιν, ὥσπερ αὖ εἰς τοὐναντίον τούτοις τὰ τῶν πραγμάτων συνέβη, ἕως ὁ πάντα λαμπρὸς δεσπότης ἕωθεν εἰς αὐτοὺς ἀνατείλας
φαιδρότερον ἡλίου προσβαλών, ὡς ἀκτῖσι ταῖς εὐπραξίαις τὴν ἀχλὺν τῶν
λυπούντων ἐξ αὐτῶν διεσκέδασε, καὶ τούτοις ἐντεῦθεν βαθείας παρέσχεν
γαλήνης κατατρυφᾶν, ἐπεὶ μετά γε δὴ σὲ τότε δή, τότε παντάπασι γενναίων
ὥς φασιν ἡγεμόνων ἠπόρουν. οὐ μήν, ἀλλὰ καὶ τὰ σὰ καθ᾽ ἕκαστον ὡς εἰπεῖν
διηγοῦνται, καὶ τοῖς παλαιοῖς τροπαίοις ἐφάμιλλα τίθενται. ποῖα δὴ λέγω
τὰ πάλαι κατὰ τῶν πολεμίων ἐκεῖνα περιφανῆ κατορθώματα, τὴν περὶ τοὺς
ἀρχομένους κηδεμονίαν, ὡς δοκεῖν εἶναί σε πατέρα σφίσι κοινόν, καὶ ἁπλῶς
τὴν περὶ τὰ καλὰ ἐπιμέλειαν; τοιαῦτα γοῦν καὶ κοινῇ καὶ καθ᾽ ἕνα καὶ κατὰ
φατρίας λέγοντες ἔν τε ναοῖς ἱστάμενοι καὶ ἐπ᾽ ἀγορὰς ἰόντες κἂν τοῖς βασιλείοις πολλῷ μᾶλλον ἑκάστοτε συνεληλυθότες κἂν στρατοπέδοις συναθροιζόμενοι καὶ δίκαις | συνεδριάζοντες καὶ πάσαις καὶ παντοίαις τὰς συνελεύ- f. 331
σεις ποιούμενοι πανηγύρεσιν. ἐπεθύμουν ὥς φασιν αἱ τῇδε πόλεις τῆς σῆς
ἐπιστήμης καὶ τῆς περὶ τὰ καλὰ προθυμίας μέχρι ⟨οὗ⟩ τουτονὶ τὸν πάντα
πανθαύμαστον καὶ λαμπρὸν δεσπότην ἡ τοῦ Θεοῦ παντοκρατορικὴ δεξιὰ
φιλανθρώπως χρησαμένη τῇ σοφῇ προνοίᾳ καὶ προθυμίᾳ παρ᾽ ἐλπίδα πᾶσαν
αὐτοῖς παρέσχε, ῥύστην ὧν τε ὑφίσταντο κακῶν καὶ χορηγὸν ἧς νῦν ἀπολαύουσιν ἀφθόνως εὐδαιμονίας. πλὴν ἀλλ᾽ εἰ κἀξ ἐκείνου γε καὶ ἐς δεῦρο
βαθείας τῆς γαλήνης ἀπολελαύκασιν εἴς τε τοὔπιον χρησταῖς τρέφονται ταῖς
ἐλπίσι κρειττόνων καὶ βελτιόνων κατατρυφήσειν τῶν ἀγαθῶν καὶ περιφανοῦς τῆς εὐδαιμονίας, ἀλλ᾽ οὐδὲ τῶν σῶν οὔμενουν ἀγαθῶν οὐδαμῶς οὐδέποτ᾽ ἐν λήθῃ γίνονται. μᾶλλον δ᾽ εἰ καί τισιν ἴσως παράδοξον τῶν ἀκουόντων εἶναι τουτὶ δοκεῖ, φασὶ τὴν περί τε σοῦ καὶ τῶν σῶν ἀεὶ μνήμην νεάζουσαν ἔχειν. ἐγὼ δὲ κἀκ τούτων ἐμαυτὸν ἐκβάλλων κἀξ ἀπόπτου στάς,
καθάπερ εἴ τινος ὑψηλοῦ σκοπιᾶς | κἀντεῦθεν ἀποσκοπῶν μανθάνειν τι περὶ f. 331v

---

*14 δή σε* M *παντάπασιν* M *20* et *21 κἂν* M *22 πάσαις καὶ* : *πάσαις* M *τὰς* : *ταῖς* S om. M *26 ἐλπίδαν* M *30 κρειττόνως* M *33 σου* M *34 κἀκ* : *καὶ* M *35 ὑψηλοῦ* om. M

---

*9 - 15 μεμνημένοι... ἠπόρουν* : hinc discimus Alexium Peloponnesum rexisse ante annum 1348 - 1349, quo Emmanuel Cantacuzenus despota regimen suscepit ; supra, ep. *2*.

*11 δεσπότης* : Emmanuel Cantacuzenus.

*23 τῇδε* : in Peloponneso.

*27 ῥύστην* : cf. ep. *2,39*.

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/06/2024 07:08:23 EEST - 3.12.155.211

*σοῦ ἐφιέμενος, ἀκούσας τὴν ψῆφον ἣν ὁ κράτιστος βασιλεὺς καὶ λαμπρότατος ἔργῳ κριθεῖσαν ἔδειξε περὶ σοῦ μέλλων ἀπόδημος ἔσεσθαι, ἐπήνεσά τε καὶ ἐπαινῶ καὶ τὸ πρᾶγμα τῆς αὐτοῦ μεγαλονοίας καὶ θαυμαστῆς ἀγχινοίας καὶ τῷ ὄντι βασιλικῆς ἄξιον ἥγημαί τε καὶ τίθεμαι. καὶ οὐκ ἐγὼ δὲ μόνος, ἀλλὰ καὶ πᾶς εἴ τις νοῦν ἔχων ἐστὶν αὐτὸ τοῦτ' ἐρεῖ, ὅτι κατὰ σκοπὸν εὐστόχως ἐτόξευσε καὶ τῆς σῆς ἀρετῆς ἀξίως περὶ τῆς πολυυμνήτου καὶ περιφανοῦς Θεσσαλονικέων μεγάλης ταυτησὶ πόλεως καὶ τῶν πέριξ οὕτω τοι ψηφισάμενος. ὑπεράγαμαι δὲ καὶ ὅτι μάλισθ' ὑπεραινῶν παρακέκλημαι καὶ τοὺς τὴν μεγάλην ταύτην οἰκοῦντας πόλιν, οἵ σε πάλιν ἐπὶ τὴν ἀρχὴν ἐξῃτήσαντο καὶ μακαρίους καὶ εὐδαίμονας αὐτοὺς ἥγημαι ὅτι σε τὰ νῦν προστάτην πλουτοῦντες φαίνονται. καὶ καλῶς γοῦν περὶ τούτου διενοήθησαν, ὡς ἐμοὶ δοκεῖ, μιμησάμενοι τοὺς Ἀθηναίους, νομίζοντες διὰ σοῦ πολλὰ καὶ μεγάλα καὶ κατὰ Περικλέα ἐκεῖνον | τὸν τοσούτοις καμάτοις τὴν Ἀθηναίων πόλιν εἰς* f. 332 *τὴν ἀρχαίαν εὐδαιμονίαν μεταγαγόντα. ἀλλὰ Περικλῆς μὲν ἐπειδήπερ ἐκ τῆς ὑπερορίας αὐτὸν οἱ Ἀθηναῖοι μετεκαλέσαντο οὐκ ἐπὶ τοσοῦτον εὗρε τὴν πόλιν εἰς τοὔσχατον ἀπωλείας ἐληλακυῖαν, ὥσπερ οὖν ἐπὶ ξυροῦ τὰ ὑμέτερα ἵστανται. τί ἂν οὖν καὶ ἀγαθὸς κυβερνήτης δράσειε, τῆς νεὼς τῶν καλωδίων διαφθαρέντων καὶ τῶν ἄλλων οὐκ εὐμοιρούσης τῶν συντεινόντων εἰς σωτηρίαν, ἢ μᾶλλον εἰπεῖν ὑφάλῳ τινὶ σκώλῳ περιπεσούσης ἀπροσδοκήτως καὶ πληγείσης ἀνιάτως, εἰς βυθὸν αὐτάνδρον κινδυνευούσης μετὰ καὶ τοῦ λοιποῦ φόρτου συγκαταδῦναι; πλὴν ἀλλά, κἂν εἰς ἅπαν τοὐναντίον ἀντεστράφθαι δοκεῖ τῇ μεγάλῃ ταύτῃ πόλει καὶ ἔστι καὶ τοῖς περὶ αὐτὴν ἅπασι τὰ πράγματα πράγμασιν, οὐ μὴν ἔγωγε ἀπαρνοῦμαι σαφὴς τοῦ μέλλοντος γεγενῆσθαι μάντις, καὶ τὸ μὴ φαινόμενον προλέγων ἐκ τῶν ἤδη γεγενημένων. μαντεύομαι γὰρ σὺν Θεῷ πεποιθὼς ἐπὶ τῷ κράτει τῆς ἰσχύος αὐτοῦ καὶ εὐαγγελίζομαι μετ' αὐτοῦ | ἐπὶ τὸ βέλτιον διαθεῖναί σε τὴν πόλιν. καὶ τοῦτο* f. 332v *διατείνομαι σφόδρα σαφῶς, τῇ σῇ περὶ πάντα πορimωτάτῃ φύσει θαρρῶν, ἐπεὶ καὶ τὴν Ἡρακλέους φύσιν εἴ τις ᾔδει, προλέγων ὅτι κατορθώσοι μάντις ἂν ἦν, ἐκ τῶν ἐκείνῳ κατειργασμένων εἰς τὸ προειπεῖν κινούμενος.*

---

41 *ἐτόξευσεν* M 41-42 *περιφανοῦς τῶν* M 43 *ὑπεραινεῖν* M 46 *τούτου* : *τοῦ* M 51 *ἡμέτερα* codd. 64 *ἐκείνων* M

---

36 *βασιλεὺς* : Ioannes V Palaeologus.

37 *ἀπόδημος* : in Pannoniam, 1365-66; O. Halecki, Un empereur de Byzance à Rome, Warszawa, 1930, 112-113; Lampros-Amantos, Βρ. Χρ., nº 49 (p. 81) 26.

44 *πάλιν... ἐξῃτήσαντο* : extremo anno 1365, peste abrepto Georgio Synadeno Astra, in sui regiminis exordio; Dem. Cyd., epp. 94 et 98.

45 *προστάτην* : cf. ep. *8,51*.

47 *διὰ* = *περί*, hodiernis *γιά*.

50 *ὑπερορίας* : Pericli dat quod de Cimone narrat Plut., Per. 9-10.

51 *τοὔσχατον* : cf. Dem. Cyd., epp. 94,4-5; 98,35.

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/06/2024 07:08:23 EEST - 3.12.155.211

## 8

### *Τῶι κυρῶι Ἀλεξίωι μεγάλωι δομεστίκωι Λάσκαρι τῶι Μετοχίτηι*

ALEXIO LASCARI METOCHITAE, MAGNO DOMESTICO, THESSALONICAM

*In Peloponneso, 1366 - 1369*

Emmanuelem Raul, abusque tempore iam remoto quo valedixit Alexio, continuis oppressum aerumnis, amici litterae miro gaudio affecerunt. Viri quoque Peloponnesii, coram quibus eas recitavit, animo revolventes res olim ab eo gestas ( cum ipsis praesset ) multos ei et felices precantur annos. Emmanuelis felicitas omnibus numeris absoluta foret, nisi abesset amicus Raul ille doctissimus ( an Metochita ? ) qui apud despotam moratur ( Myzithrae scilicet, apud Emmanuelem Cantacuzenum ), propter Acovae praefecturam ( quam aut obtinet aut petit ? ). Honoribus ille cumulatur a despota et ab imperatore ( Matthaeo Cantacuzeno ), sed et e regia urbe litterae ei missae sunt imperiales ( Ioannis V aut Ioannis Cantacuzeni, monachi ex imperatore ? ). Commendatum habeat Alexius Michaëlem Zygogreben, filium praefecti olim Carytaenae ( qui Thessalonicam petit, deferendo, proculdubio, hanc epistulam ). Emmanuel gratulatur Thessalonicensibus, quorum civis factus est, quod ab Alexio regantur. Huic Deum propitium, imperatorem benignum optando claudit epistulam.

*Πολλαῖς πρότερον καὶ ποικίλαις περιπεσὼν καὶ πολυσχιδέσι συμφο-* (f. 327)
*ραῖς ἐξ ὅτουπερ ἀπερράγην τῆς σῆς τερπνῆς θεωρίας καὶ ἡδίστης ὁμιλίας, θαυμασιώτατε, μεταξὺ τῶν καιρῶν πολλῶν ἡμᾶς περιστάντων τῇδε κατὰ συνέχειαν δυσχερῶν, μόλις εὐτυχήσας ἐφάνην, μίαν τῶν ὅλων ἀπαλλαγὴν τὴν σὴν γλυκυτάτην εὐεργετικὴν γραφὴν δεξάμενος, τοῦ Ἀγάλλωνος ἐπανήκοντος. καὶ πυκνὰ πυκνῶς αὐτὴν ἀναπτύσσων καὶ τοῖς ἐντυγχάνουσιν ἐνδεικνύς, καὶ τὰ ἐγγεγραμμένα διεξιὼν ἐγώ τε τούτοις ἐνασμενίζων ἔνθους ὑφ᾽ ἡδονῆς γίγνομαι καὶ οἱ ἀκροώμενοι ἐν ἑορτῆς οὐ μικρῷ μέρει τὸ πρᾶ-*

---

*8.* S 7, f. 327 - 329. M 12, f. 153 - 155. M[1], f. 308 - 308v.
*2 ἀπεράγην* M

---

*8.* Tit. Alexio : v. ep. *7,2*. Scripta est ep. *8* post ep. *7*, praefecto Thessalonicae Alexio Metochita iterum, qui anno 1369, mense Iunio, iam priuatus, in monasterium Batopedii secessurus erat ; Dölger, loc. laud. supra, ad ep. *7*.

*3 τῇδε* : in Peloponneso ; ep. *7,8 - 15* et *23*.

*5 Ἀγάλλωνος* : de gente Agallonum v. Νέος Ἑλληνομνήμων, 4 ( 1907 ) 303 - 307. Adde Andronicum Ducam Agallonem, cui nupsit Eudocia Lascarina Calophera, eorumque filium Ioannem, in testamento Ioannis Lascaris Calopheri ( 1388. VII. 5 ) quod edidi in Appendice V ad epistulas Demetrii Cydonii, n⁰ 10.

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/06/2024 07:08:23 EEST - 3.12.155.211

*γμα τίθενται, δοξάζοντές σε τῆς ἀρετῆς, ὅτιπερ οὐδὲ τῆς ἡμῶν σμικρότητος ἐπιλέλησαι· καὶ εἰς ἀνάληψιν ἐντεῦθεν οἱ πλείους τῶν σῶν καλῶν τε καὶ | (f. 327v) ἀγαθῶν ἥκουσι καὶ τὸ τῆς μνήμης ἕκαστος φιλοπραγμόνως ἀναπτύσσει βιβλίον, φιλοτιμούμενοι τίς τί τούτων πρότερος πρὸς ἐμὲ τῶν σῶν ἀναμνήσει, σὸν εἰδότες θερμότατον καὶ διάπυρον ἐραστήν. ἐγὼ δὲ τοῦ περί τε σοῦ καὶ τῶν σῶν λέγειν τε καὶ ἀκούειν οὐδὲν ἄλλο τι τῶν ἁπάντων πραγμάτων προτιμότερόν ποθ' ἡγούμενος εὐθὺς χοροῦ μέσος φαίνομαι, καὶ κορυφαῖος εἶναι νομίζων ἑστιάτωρ αὐτοκλήτων προσαγορεύομαι δαιτυμόνων, αὐτοσχέδιον προτιθεὶς καὶ παραθεὶς αὐτοῖς τράπεζαν παντοίων τε καὶ ἡδέων τῶν ἐδωδίμων γέμουσαν, παρακαλούμενός τε μεγαλορρημόνως αὐτοῖς διέξειμι πᾶν ὅπερ ἂν ἡ μνήμη τῶν σῶν πρότερον ἑτοίμως παράσχῃ σπουδαῖον ἢ πάρεργον· οἱ δ' ἀκροώμενοι μεθ' ἡδονῆς ἀκορέστως, κἂν ὁποῖά ποτ' ἂν ᾖ τὰ λεγόμενα, μόλις ἐντρυφήσαντες ἀπαλλάττουσιν, οὐκ ἐλαχίστην μοι χάριν ὁμολογοῦντες, καὶ φωνὰς ἱκετηρίους πρὸς Θεὸν ἀναπέμπουσιν, ἐς ὅσον μήκιστόν σε βιῶναι τὸν εὐγνωμονέστατον καὶ εὐπροσιτώτατον ἐξαιτούμενοι, τὰς τῶν ἐτῶν | (f. 328) περιόδους σὺν εὐθυμίᾳ τε καὶ ῥαστώνῃ διιόντα καὶ μεγάλῃ τῇ δόξῃ, κατὰ τὴν σὴν βούλησιν. μεθ' ὧν καὶ αὐτὸς αὐτὰ ταῦτα φθέγγομαι, πολλήν σοι χάριν εἰδὼς ὅτι με τῆς γλυκυτάτης ταύτης οὐκ ἀπηξίωσας καὶ ἐπεράστου γραφῆς. ἀνεζωώθην γάρ τινα τρόπον καὶ ἀνενεώθην, καὶ ὡς εἰπεῖν εἰς ἐκεῖνον ὑπ' αὐτῆς ἐπανήκων τὸν χρόνον καὶ τὴν ὁμιλίαν ἐγενόμην ἐκείνην, καὶ ὁρᾶν δοκῶ σε τοῖς κεχαρισμένοις ἤθεσι χρώμενον προσδιαλεγόμενόν τε τοῖς παροῦσι καὶ γελῶντα καὶ βοῶντος ἀκούειν ὅπερ εἰώθεις ποιεῖν, καὶ χάριν ὁμολογῶν εἰμι τῷ πάντων ἀγαθῶν δοτῆρι Θεῷ ὅτι σοι τότε δὴ τότε τῇδ' ἐντυχὼν ὡς θησαυρῷ παρ' ἐλπίδα καὶ δαψιλῶς παραπολαύσας τοῦ χρήματος οὐδὲ νῦν ἀπέτυχον τῶν ἐλπίδων, εἰ καὶ μεταξὺ τὸ μῆκος πολὺ παρετάθη τῶν χρόνων, καί, τῶν πραγμάτων ἀλλεπαλλήλοις κυμάτων τῆς κοσμικῆς θαλάττης χρησαμένων μεταβολαῖς, τὴν ἡμῶν ἀπὸ σοῦ διάστασιν οὐκ εἴασεν ἐπ' εὐθείας εἶναι, σοῦ γε ἐς Θετταλοὺς μεταπεσόντος ἐκ Βυζαντίων. | (f. 328v) ἑνί γέ τῳ τούτῳ μόνῳ τῶν πάντων ἐνδεῶς ἔχειν φαίνομαι ὅτι μοι Ῥαοὺλ τὸν σοφώτατον, τὸ πάντιμον καὶ πρᾶγμα καὶ ὄνομα, συμπα-*

---

*10 πλείως* M *16 ἐσθιάτωρ* codd. *αὐτοκλήτωρ* M *17 καὶ* om. M *τε* om. M *18 διέξειμοι* M *20 ὁπαίαποτ'* M *23 εὐπροσιώτατον* M *24 μεγάλους* MM¹ *27 ἀπεράστου* M *28 ἐπανῆκον* SM¹ *ἐπανήκοντα* M *31 εἰμι* om. SM¹ *τῷ : τῶν* codd. *32 δή τοτε* om. M *32-33 παραπολαῦσαι* M *35 μεταβολλαῖς* M *37 ἑνί γε τῷ* codd.

---

*32 τῇδε* : puta, Thessalonicae ; v. infra, lin. *48-51*.

*36 ἐπ' εὐθείας... μεταπεσόντος* : Thessalonicam sibi commissam petivit Alexius a. 1366. Sed cur propterea non iam « in recto » distet ab Emmanuele et Peloponneso non satis perspectum habeo.

*38 Ῥαοὺλ* : Emmanuel Raul Metochita ? v. ep. *6*.

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/06/2024 07:08:23 EEST - 3.12.155.211

*νηγυρίζοντά μοι νῦν οὐκ εὐτυχῶ, δεξάμενος τὰ σὰ γράμματα. καθάπερ γὰρ ὑπῆρξε γραμμάτων καὶ λόγων καὶ φιλοσοφίας ἐραστὴς ἠθέλησέ τι μικρὸν καὶ πραγμάτων μετασχεῖν, διὰ τὸ μὴ δοκεῖν παντάπασιν ἀμαθὴς ἢ ἀδόκιμος καὶ περὶ τοῦτ' εἶναι, κἀντεῦθεν ἦν που περὶ τὴν τῆς Ἄκρας ἀποδημῶν ἀρχῆς. ἔνι δ' ὑγιαίνων καὶ εὐεκτῶν παρὰ τῷ λαμπροτάτῳ δεσπότῃ, λαμπρὰ τιμώμενος, οὐκ ἐλαχίστης ἀπολαύων καὶ τῆς παρὰ τοῦ βασιλέως κηδεμονίας, καὶ γραμμάτων βασιλικῶν ἀπὸ τῆς Πόλεως ἀξιούμενος. τὸν δὲ Ζυγογρέβην κῦρον Μιχαὴλ οἶδ' ὅτι σαφῶς ἐπιγνώσῃ, μεμνημένος τοῦ τε πατρὸς αὐτοῦ καὶ τζαουσίου τῶν τότε ἀρχηγῶν Καρυταίνης, καὶ τοῦ προσήκοντος ἀξιώσεις ἐπὶ ξένης ἐπιδημήσαντος. ἐγὼ δ' εἰμὶ πεπολιτογραφημένος Θεσσαλονικεύς, ὡς αὐτόχθων αὐτόχρημα ἐν αὐτῇ τῇ πολυ|υμνήτῳ πόλει τραφεὶς καὶ* f. 329 *ἀνατραφείς, καὶ παιδείας ὅσης ἔχων φαίνομαι μετασχών, πολλῶν ὧν ἐντεῦθεν ὀφειλέτης αὐτῇ πρεσβείων, καὶ τοῖς αὐτῆς οἰκήτορσι συγχαίρων διατελῶ ὅτι σε κατά γε δὴ τὰ παρόντα μετὰ Θεὸν προστάτην πλουτοῦντες φαίνονται. καὶ εἴης γε παρὰ τῷ κρατίστῳ καὶ θειοτάτῳ βασιλεῖ τιμώμενος καὶ στεργόμενος, τῇ τοῦ Θεοῦ παντοδυνάμῳ δεξιᾷ περιφρουρούμενος, παντὸς λυποῦντος ἀνώτερος, ὡς ἂν καὶ ἡμεῖς οἱ σοῦ μόνου κατ' ἄκρας ὡς ἀληθῶς ἐξημμένοι τῶν ἐφετῶν ὡς ἐνὸν ἀπολαύειν ἔχωμεν.*

## 9

## Ὁ Ῥαοὺλ τῶι Τζακονοπούλωι

TZACONOPULO

*In Peloponneso, 1366 - 1369*

Bonorum virorum cultor Tzaconopulus illis se connumerare fingit Emmanuelem Raul, cuius litteras magno domestico missas (ep. *7* aut *8*?) legere

---

*39 δεξάμενος... γράμματα* bis M *42 Ἄκρας* : leg. *Ἄκοβας* *43 εὖ ἐκ τῶν* S *49 τραφεὶς καὶ* om. M *51 τοῖς* : *τῆς* M¹

*9*. S 8, f. 329 - 330. M 3, f. 144v - 145. Tit. *Ὁ* om. S

---

*42 Ἄκρας* : non dubito quin *Ἄκοβας* scripserit noster. Ita librarii *Ἀκωβὴν* in *Ἀκριβὴν* mutauerunt apud Laon. Chalcocandylem, t. II, 204,22 (Darkó).

*43 δεσπότῃ* : apud Emmanuelem Cantacuzenum, Myzithrae.

*44 βασιλέως* : Matthaeus Cantacuzenus, qui Myzithrae degebat?

*45 βασιλικῶν* : Aut Ioannis V Palaeologi, aut eius filii Andronici IV.

*45 Ζυγογρέβην* : qui, procul dubio, epistulam detulit.

*52 προστάτην* : cf. ep. *7,41 - 44*.

*53 βασιλεῖ* : Ioannes V Palaeologus.

*9*. Tit. : Tzaconopulo, amico ex condiscipulo, inscripta est ep. 33 Gregorii Acindyni, cuius finem appono : « ...*ἀλλ' εἰς τὸ πλέον μηκύνειν οὔτε κατ' ἐπιστολὴν*

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/06/2024 07:08:23 EEST - 3.12.155.211

cupit. Quamquam blandientis amici verbis minime deceptus, Emmanuel exemplum epistulae mittit Tzaconopulo, quem ob singulare meritum semper optat secum habere.

*Ὄντως σὺ τῶν ἀγαθῶν ἀνδρῶν κατ' ἄκρας ἐξηρτημένος καὶ τῆς ἐκεί-* (f. 329)
*νων Μούσης δεύτερα πάντα τιθέμενος, οὔπω κόρον ἕξειν δοκεῖς ἐπὶ μαθή-*
*ματα καὶ λόγους παρακαλῶν τοὺς ἀνθρώπους. ὅθεν ἄρα καὶ τὰ ἐμὰ θαυμά-*
*ζεις ψελλίσματα καὶ περὶ τούτων μακροὺς ἀποτείνεις ἐπαίνους, τούτοις ἐμὲ*
*τοῖς λόγοις νομίζων ἀποδείξειν βελτίω. εἰ δέ τίς σε ἤρετο φάσκων οὕτως· «ὦ*
*ἄριστε· πρὸς Θεοῦ καὶ σοφίας αὐτῆς, τὸν πάντα κύκλον χαίρειν ἀφεὶς | καὶ* f. 329v
*ταυτηνὶ τὴν καλὴν περὶ τοὺς λόγους οἰκονομίαν, ἐξαύδα, μὴ κεῦθε νόῳ·*
*τί σοι περὶ τῶν τοῦ Ῥάλη δοκεῖ ποιημάτων;», πῶς οὐκ ἔμελλες, ὦ βέλτι-*
*στε, τὴν ἀληθῆ ψῆφον παρέξειν; ὅμως, ἐπειδήπερ οὕτω φῂς ἐρᾶν τῶν ἐμῶν*
*πονημάτων, ἔξεστί σοι καὶ τὴν πρὸς τὸν μέγαν δομέστικον ὁρᾶν ἐπιστολήν,*
*ἣν ὀλίγῳ πρόσθεν ἠξίωσας πέμψαι. ἐγὼ δέ σε ἐβουλόμην τὴν θαυμαστὴν*
*κεφαλὴν ἀεὶ παρεῖναι καὶ τοῖς σοῖς μελιρρύτοις λόγοις εὐφραίνειν ἡμᾶς.*
*οὐδὲ γάρ ἐστιν, οὐκ ἔστιν, οὐ μὰ τοὺς λόγους αὐτούς, ὅτε σε τῆς μνήμης*
*ἐκβάλλω, μάλιστα δὲ τὸ καθ' ἑκάστην ἔργον ἐμοὶ πρὸ πάντων περὶ*
*σοῦ διαλέγεσθαι, καὶ μόνῃ τῇ τοιαύτῃ μνήμῃ τὰ μέγιστα εὐφραινόμενος.*
*οὕτως ἐγὼ τῆς σῆς ἀρετῆς ἑάλων κατ' ἄκρας, καὶ οὕτω σε φιλῶν ἀεὶ καὶ*
*θαυμάζων οὐ παύομαι. καί μοι δοκῶ μὴ μόνον ἐμὲ περὶ τὰ σὰ μανικῶς*
*ἔχειν, ἀλλὰ καὶ πάντας σχεδόν. τίς γὰρ οὐκ ἂν ἐκπλαγείη τὴν σὴν περὶ τὰ*
*καλὰ φύσιν προσβαλὼν σοι τὸ πρῶτον; τίς δ' οὐκ ἂν ἀγασθείη τὸ σὸν περὶ*
*πάντας ἐπιεικὲς | καὶ φιλάνθρωπον; καὶ μή μοι ταῦτα κολακείαν καλέσῃς,* f. 330
*ὦ πάντων ἄριστε. οὐδὲ γὰρ εἰκὸς τὸ ὂν αὐτὸ κολακείαν νομίζειν, ὥσπερ*
*οὐδὲ κολακείαν εἴποις ἂν πάντως γ' εἴ τις ὡς ἀνδρεῖον διηγεῖται τὸν Ἀχιλ-*
*λέα, καὶ τὸν Ἀριστοτέλην φιλόσοφον καὶ ῥήτορα τὸν Δημοσθένην. ἀλλ' ὦ*
*γενναῖε, πρὸς Θεοῦ καὶ τῆς σῆς ἀρετῆς, γράφε ἡμῖν καὶ πέμπε, καὶ πολλὴν*
*σοι περὶ τούτου γνωσόμεθα χάριν. — ἔρρωσο.*

---

*4 ψελίσματα* M   *6 κύκλων* M   *8 - 10 πῶς... πονημάτων* om. M   *14 σε : σοῦ* codd.   *18 γὰρ ἂν οὐκ ἂν* M   *22 γ'* om. M

---

*καὶ ὁ θαυμάσιος ἡμῖν ἀδελφὸς Ἀτουέμης γέμων ἁπάσης σοφίας καὶ νοῦ καὶ φρονήσεως ὑπὲρ τὴν ἡλικίαν... πάντα σοι διασαφήσει τὰ κατ' αὐτοὺς* (Palamitas) *ἀκριβέστατα. ἀκούων δὲ καὶ Μακρηνὸν ἀδελφόν σοι συνεῖναι... τοῖς αὐτοῖς τούτοις αὐτὸν γράμμασι δεξιοῦσθαι. οὐ γὰρ ἦν ἀπεικὸς τοὺς τοῖς αὐτοῖς κεκοσμημένους τρόποις καὶ ἀλλήλοις συμπνέοντας καὶ τοῖς αὐτοῖς παρ' ἡμῖν γράμμασι προσηγορεῦσθαι».* Cod. Venet. Marc. gr. 155, f. 64 - 65.

7 Hom. A 363.

*10 δομέστικον* : Alexius Theod. f. Metochita, ad quem epp. *7* et *8*.

*10 ἐπιστολὴν* : ep. *7* aut *8*?

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/06/2024 07:08:23 EEST - 3.12.155.211

## 10

### *Τῶι τοῦ Ὀρεινοῦ*

ABBATI MONASTERII ORINI

*Scripta in Peloponneso*

Venia carere pronuntiat Emmanuel Raul quod abbas Orini cum primoribus sui monasterii domum revertens a sede despotae ( Myzithra scilicet ), per sua vix non transiens vestibula, non declinaverit ad salutandum amicos seque cum suis refocillandum, post noctem actam sub divo.

f. 326 *Νῦν ἔγνων ἐναργῶς ὡς ἀληθῶς, ὦ θεσπέσιε, ὡς παρ' οὐδέν ἐστι τιθέμενον τοὐμὸν παρὰ σοί, ὅτι παρῆλθες ἡμᾶς διιὼν πλησίον, σχεδὸν ἀπὸ τῶν προθύρων, μηδὲ παρακύψαι καταξιώσας, καίτοι μετὰ τῶν λογάδων τῆς κατὰ σὲ ταύτης σεβασμίας μονῆς τὴν πορείαν ποιούμενος. ὃ δὴ καὶ διαφερόντως ἔμελλεν ἡμᾶς εὐφρανεῖν, ἄλλως τε καὶ ὅτι ἀπὸ τοῦ πάντα λαμπροτάτου ἡμῶν δεσπότου, ἔνθα καὶ γνησίων ἐσμὲν φίλων εὐτυχηκότες, ἐτυγχάνετε ποιούμενοι τὴν ἐπάνοδον. σὺ δὲ καὶ τῆς πρὶν ἀξίας εἴης [ κατεχόμενος ] ἐπειλημμένος, οὗ μέρος οὐκ ἐλάχιστον ἦμεν καὶ ἡμεῖς ἱμειρόμενοι. τίνα οὖν οὐκ ἂν τοῦτο ἀκούοντα πρὸς κατηγορίαν σὴν ἤγειρεν; ἐγὼ μὲν οὖν οἶμαι πολλούς, καὶ μάλιστα τοὺς ἡμᾶς εἰδότας ἐπὶ φιλίᾳ σεμνυνομένους. τίς καύσων ὑμᾶς συνήλαυνεν; ὅσπερ εἰ καὶ παρὼν ἐτύγχανεν ἦν παρ' ἡμῖν ὃν οὐκ ἀγνοεῖς τάπης θαυμαστὸς ἡπλωμένος πρὸς ἀναψυχήν, εὐσκιοφύλλων εὐτυχῶν καὶ | ὑψικόμων* (f. 326v) *τῶν ἐπισκιαζόντων, εὐκράτοις αὔραις ὑπορριπίζων τοὺς ἐντυγχάνοντας. ψύχος δὲ ποῖον, πάντως δ' οὐδὲ μία ἀνάγκη, οὐκ ὄμβρος οὐ χιών, οὐκ ἀπευκταία τις φήμη δέος ἐμποιοῦσα τοῖς ὁδοιπόροις. τὸ δὲ τῆς ὥρας ἦν δείλη πρωΐα, δεομένη καί τινος παρακλήσεως, μάλιστα τοῖς ἐν ὑπαίθρῳ καθάπερ δὴ καὶ ὑμῖν διανυκτερεύσασιν. ἠδίκησας οὖν ἡμᾶς, εὖ ἴσθι, τὰ μέγιστα· καὶ φρόντισον ὅπως δίκας ἀποδῷς τῆς ὀλιγωρίας. — ἔρρωσο.*

---

*10.* S 5, f. 326 - 326v. M 7, f. 149 - 149v.
*1 ἔγνων* om. M *2 πλησίον* om. M *6 ἐσμὲν : ἡμῶν* M *7 κατεχόμενος* om. M *11 ὅσπερ : ὅπερ* codd.

---

*10. 6 δεσπότου* : Emmanuel Cantacuzenus ; ep. *2,2.*
*11 - 12 τάπης* : cf. ep. *6,37.*
*12 εὐσκιοφύλλων* : cf. ep. *6,43.*

5 - 11 - 1956

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/06/2024 07:08:23 EEST - 3.12.155.211

## 11

### Τῶι τοῦ Ὀρεινοῦ ἡγουμένωι

ABBATI MONASTERII ORINI

*Scripta in Peloponneso*

A malis praedecessorum exemplis laudabiliter recedens abbas Orini semper oboedivit praeceptis patronorum monasterii, Plato sanctimonialem, viduam Plateos, respicientibus. Platys ille ( unus ex patronis ) nonnula statuit, quae effectum haberent si Plato visum amitteret. Quod cum factum sit, abbas, defensor et procurator Platus, procul dubio suum adimplebit officium, nec est cur Emmanuel Raul amplius de hoc scribat.

*Οὐκ ἔδει πάντως ἡμῖν, ὦ θεσπέσιε, πρός γε σὲ γραμμάτων οὐδὲ λόγου* (f. 336v) *τινὸς πρὸς ἀνάμνησιν ὧν παρ᾽ ἄλλων ἠδίκηται πρότερον ἡ παρὰ σοὶ νῦν οὖσα μοναχὴ μήτηρ ἡμῶν ἡ Πλατώ, σὲ προστάτην πλουτήσασα, ὅτι τῶν εἰδότων εἶ τὰ αὐτῆς, τυγχάνων θρέμμα καὶ παίδευμα τῆς κατὰ σὲ δὴ ταύτης πανσεβάστης μονῆς, ἧς δὴ παρὰ τοῦ Θεοῦ καὶ τὴν προστασίαν ἐνεχειρίσθης, καὶ ὅτι, τῶν πρὸ σοῦ ἀθετούντων τὰ πρὸς αὐτὴν τῶν κτητόρων κεκυρωμένα, τὸν προσήκοντα σὺ παρὼν δι᾽ ἐλέγχων ἐπεδείκνυσο ζῆλον ὑπὲρ τοῦ δικαίου ἀγωνιζόμενος, | οἶμαι, τοῦ λέγοντος μεμνημένος « ζηλῶ γὰρ ὑμᾶς Θεοῦ ζήλῳ »* f. 337 *καὶ « ζηλῶν ἐζήλωκα τῷ Κυρίῳ παντοκράτορι » καὶ « ὁ ζῆλος τοῦ οἴκου σου καταφάγεταί με ». νῦν οὖν ἤγγελταί μοι ὡς, ὧν ἕνεκεν ὁ Πλατὺς ἐκεῖνος δεδοικὼς ὡς προνούστερος τὴν πρόνοιαν ἐποιήσατο τῆς τοῦ σιτηρεσίου τότε διακονίας αὐτῆς ἐκ τῶν προσόντων αὐτῷ, καὶ αὐτὴ δὴ νῦν περιπεσοῦσα φαίνεται τῇ ἀορασίᾳ, ἣν εἴτε λῦπαι εἴτε δὴ τὸ γῆρας αὐτὸ εἴτε καὶ τὸ χαῦνον τοῦ θήλεος αὐτῇ τῷ χρόνῳ καμὸν προὐξένησε· καὶ δεῖται πολλῆς ὑπὸ πολλῆς τῆς ἀνάγκης τῆς προμηθείας καὶ βοηθείας. καὶ ἔνι γε σοῦ μόνου, τοῦ καὶ δυναμένου καὶ τὴν τῶν αὐτῶν ἔχοντος πραγμάτων καὶ προστασίαν καὶ ἐξουσίαν, ἐκ τῶν ἐνόντων καὶ δυνατῶν ὡς ἐφικτὸν ἐξιᾶσθαι τὸ συμβᾶν αὐτὸ δὴ ταύτῃ τῆς ἀορασίας δυσχερέστατον πάθος, μηδὲν ἕτερον δρῶντα ἢ τὸ πρὸς αὐτὴν ἐκεῖνο μόνον ὃ φαίνεται κυρωθὲν παρὰ τῶν κτητόρων ἐκείνων. ἐγὼ δέ σε μόνον ὅπερ | αὐτῇ καὶ αὐτὸς ἐποφείλω, μετὰ τοῦ συνήθους καὶ* f. 337v

---

*11.* S 12, f. 336v - 337v. M 8, f. 149v - 150.
*6* et *19* *κτιτόρων* codd. *11* *προνούστερος* : *προυνέστερος* codd. ; cf. Soph., Aj. 119. *12* *αὐτῷ* : *αὐτῶν* M *14* *αὐτῇ τε τῷ* M *15* *προμηθείας* : *προθυμίας* M *20* *αὐτὴ* M *προσ. κ. συν.* M, et S primum, sed suprascriptis β′ et α′ debitus ordo signatur.

---

*11.* *8* 2 Cor. XI 2 ; 3 Reg. XIX 10 ; Psalm. 68,10.



Institutional Repository - Library & Information Centre - University of Thessaly
11/06/2024 07:08:23 EEST - 3.12.155.211

*προσήκοντος γράφων θάρρους, ὑπομιμνήσκω. καί σοι πλείστην ὅτι γνώσομαι χάριν, εὖ ἴσθι, δικαίως ἐκπληρουμένου τοῦ τοιούτου δικαίου. — ἔρρωσό μοι, καὶ κατὰ τὸν διπλοῦν ἄνθρωπον ἔρρωσο, ὁσιώτατε πάτερ.*

## *12*

## *Τῶι Γαστρέαι*

GASTREAE PICTORI

*Scripta in Peloponneso*

Dormitionem Beatae Mariae Virginis a Gastrea potius quam ab alio pictori sibi depingi desiderat Emmanuel Raul, quod eum viderit, viginti sex annis ante, superiore Tabia, summa similitudine exprimentem praeclarum exemplar ibi servatum.

*Εἰ σοφόν τι χρῆμα ζωγράφων χείρ, καὶ δεινὴ μιμήσασθαι τὴν ἀλή-* (f. 326v) *θειαν, τῆς τῆς σῆς σοφίας χρῄζω κἀγὼ χειρὸς διὰ τὴν τῆς ὑπεράγνου μητρὸς τοῦ Σωτῆρος Χριστοῦ σεβασμίαν καὶ πανένδοξον κοίμησιν, μεμνημένος μάλιστα καὶ τῆς σῆς οὐκ ἐλαχίστης περὶ τοῦτο σπουδῆς, χρόνοις πρότερον οὐχ ἧττον εἴκοσι πρὸς τοῖς ἕξ, ὅτε ταύτην ἐν ἀκριβείᾳ ζητῶν ἐς τὴν ἀνωτέρω Ταβίαν πολλάκις ἕωθεν ἐφοίτας τοὺς ἀρχετύπους ἐκμιμούμενος πίνακας. ὅθεν καὶ ἀξιῶ τοῦ ζητουμένου τυχεῖν παρὰ σοῦ μετὰ τοῦ προ|σήκοντος.* f. 327 *πέπομφα δέ σοι διαγραφὲν ὅπερ ἦμεν πρότερον κεκτημένοι, καὶ μέλλω πολλήν σοι τὴν χάριν, εὖ ἴσθι, γνώσεσθαι. τὰ πλείω δέ σοι φωνῇ ζώσῃ ὁ υἱὸς ἡμῶν Νικηφόρος ἀναγγελεῖ. — ἔρρωσό μοι τὸ προσφιλέστατόν μοι καὶ ὄμμα καὶ πρόσφθεγμα, γενναιότατε καὶ σοφώτατε.*

---

*12*. S 6, f. 326v - 327. M 9, f. 150 - 150v. Edita, Byzantinische Zeitschrift, 7 ( 1898 ) 310.

5 *πρὸς* : *πρὸ* M  6 *ἐκμιμούμενος* M : *ἐκαιμούμενος* aut *ἐκαμουμενος* S

---

*12*. 6 *Ταβίαν* : v. Byz. Zeitsch., 7 ( 1898 ) 307 - 315.

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/06/2024 07:08:23 EEST - 3.12.155.211

## Appendix

*Ex actis Ioannis Gerardo, publici notarii*

VENEZIA, ARCHIVIO DI STATO, NOTAI DI CANDIA, GIOVANNI GERARDO

*Candidae in Creta, 1355. VII. 24*

*Die uigesimoquarto committens committo ego Georgius Gabrielopulo de Constantinopoli, nunc morans Candide, tibi prouido ac discreto uiro Nichiforo Vlasto, notario et scribe Coroni, ut amodo in antea, pro me et meo nomine, plenam uirtutem et potestatem habeas comparendi coram magnifico domino, domino Andrea Mauroceno, honorabili castellano Coroni et Mothoni, et alio ubicumque fuerit opus, ad pettendum et accipiendum totam peccuniam et unum indumentum, que iussu ipsius domini castellani fuerunt ablata Dimitrio Chydoni nepoti meo, qui de domu mea, in qua morabatur mecum Candide, modo indebito et inonesto accepit mihi ducatos auri Venetos guadraginta quinque et recessit occulte uenitque Coronum, ubi partem eorum dissipauit et residuum eorum ob relationem factam dicto domino castelano fuit acceptum sibi et depositum in camera. de quibus quidem ducatis et dictum indumentum sibi fieri fecit, et si contingeret, placitandum et deffendum iura mea contra quascumque personas tam in pettendo quam in respondendo, cartam quoque securitatis et quicquid alius opus fuerit generaliter et specialiter circa dictum negotium faciendum et complendum, et si expedierit in anima mea iurare, sicut egomet presens facere possem et deberem, promittens firmum habere quicquid inde feceris. Si igitur etc. penam auri libras quinque, contractu firmo. — T(es)t(es). M. Bogodiono. Ge. Habramo. Complere et dare. Sibi dedi.*

---

*8 Dimitrio Chydoni ; non præclarus ille scriptor, qui tunc in aula Constantinopolitana τὸν μεσάζοντα agebat, sed fortasse Cydonius ille de quo in ep. 6,29.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
11/06/2024 07:08:23 EEST - 3.12.155.211